Mill. N.T. Greek. 1803.

NOVUM

TESTAMENTUM GRAECE

AD

CODICES MOSQUENSES UTRIUSQUE BIBLIOTHECAE SS. SYNODI ET TABULARII IMPERIALIS, ITEM AUGUSTANOS, DRESDENSES, GOETTINGENSES, GOTHANOS, GUELPHERBYTANOS, LANGERI, MONACHIENSES, LIPSIENSES, NICEPHORI ET ZITTAVIENSEM, ADHIBITIS PATRUM GRAECORUM LECTIONIBUS, EDITIONIBUS N. TESTAMENTI PRINCIPIBUS ET DOCTORUM VIRORUM LIBELLIS CRITICIS, ITERUM RECENSUIT, SECTIONES MAIORES ET MINORES EUSEBII, EUTHALII ET ANDREAE CAESARIENSIS NOTAVIT,

PRIMUM QUOQUE NUNC

LECTIONES ECCLESIASTICAS

EX USU

ECCLESIAE GRAECAE DESIGNAVIT

AC

SYNAXARIA EVANGELIARII

ET

PRAXAPOSTOLI

ADDIDIT

ET

CRITICIS INTERPOSITIS ANIMADVERSIONIBUS

EDIDIT

CHRISTIANUS FRIDERICUS DE MATTHAEI

COLLEGIORUM IMPERALIUM ROSSICORUM ASSESSOR ET PROFESSOR WITTENBERGENSIS.

TOMUS PRIMUS.

WITTENBERGAE. ANNO MDCCCIII.

Curiae Variscorum.

(cf. T. II p. 327.)

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

AUGUSTISSIME
ET
POTENTISSIME IMPERATOR,
DOMINE CLEMENTISSIME.

Religiosissimorum ac sapientissimorum maiorum TUORUM, *Alexii Michaëlidis*, *Petri Magni* et *Catharinae Magnae*, impensis, cura et providentia effectum est, AUGUSTISSIME IMPERATOR, ut, haec novi Testamenti Graeci editio praestantissimis et antiquissimis Codicibus Graecis a me conformari potuerit simillima. *Alexius Michaëlides* enim Codices illos, qui nunc Mosquae in utraque Sanctissimae Synodi bibliotheca servantur, magnis impensis in Graecia coëmerat: *Petrus* vero ille *Magnus* primus curaverat, ut eorum aliqua notio, et ad Rossos, et ad exteras gentes perveniret: imperante autem *Catharina Magna* mihi negotium datum fuerat, ut, quid singuli continerent, accuratiore traderem notitia. In eo duodecim annos occupatus opere, facile intellexeram, inter caeteros eximios Codices primas tamen partes tenere Codices novi Testamenti. Igitur et antea, cum adhuc in Rossia essem, novam eius editionem ex istis Codicibus curaveram, et nunc, pluribus etiam plurium bibliothecarum Codicibus instructus, hanc secundam novis accessionibus locupletavi ac pro viribus perfeci. Ut vero eam TIBI, AUGUSTISSIME

IMPERATOR, dicare auderem, plures fuerunt caussae. Commendari enim TIBI poterat, ut ex maiorum TUORUM ac TUIS thesauris ditata. Duo priores prioris editionis tomi dedicati fuerant *Catharinae Magnae* et *Divo Parenti* TUO, eo tempore Magno Rossorum Duci, ac testibus epistolis Schuwalovii, cubiculariorum imperalium summi tunc praefecti, benignissime accepti fuerant. Spem igitur fovebam maximam, fore, ut hic libellus, triginta annorum assiduo excultus studio, nec a TE, IMPERATOR AUGUSTISSIME, repudiaretur. Animum mihi augebat etiam commune gaudium omnium, statim sub auspiciis imperii TUI conceptum atque in dies singulos magis magisque per universum terrarum orbem diffusum, et fama sermonibus omnium celebratissima de TUIS virtutibus; non solum illis imperatoriis, sapientia, iustitia, animi magnitudine, fortitudine, constantia: verum etiam de his lenioribus et humanioribus, nec tamen minus imperatoriis, aequitate, comitate, clementia, bonitate, quae sapientium iudicio aetatum omnium tantae aestimatae sunt, ut hominem per eas proxime ad naturam maiestatemque divinam accedere arbitrarentur

et eis clari et insignes *deliciae generis humani* appellarentur. Novissime celebrabantur etiam beneficia, honores et iura Dorpatensi Universitati, vel verius ut dicam, non uni Universitati, nec solis iis, qui nunc ibi sunt, professoribus, viris clarissimis, nec uni genti aut aetati, sed in universum sapientiae et sapientibus futurarum etiam aetatum, non regali solum, sed inusitata ante hunc diem munificentia sapientissime ac liberalissime a TE tributa. Fundaverant enim ante TE, IMPERATOR AUGUSTISSIME, multi principes, reges et imperatores universitates: sed multi ita fundaverant, ut aliae dudum iam corruerint, aliae ruinis sint proximae. Ipse vero, dum *Augustissimo Parenti* TUO pro summa pietate TUA monumentum hoc ad eius memoriam durabile posuisti: simul sapientiae et liberalitati TUAE monumentum posuisti aeternum. TIBI ergo, tam sapienti Principi, tam litterarum amanti, tam erga omnes benevolo, si ipse etiam hanc opellam meam, quae maxima parte Rossicae esset origenis, offerre et ante oculos ponere auderem, pro singulari indulgentia TUA facile me impetraturum esse veniam existimabam. Ut autem divina promissu et

praemia, piis et religiosis in his libellis proposita, TIBI, AUGUSTISSIME IMPERATOR, atque universae *Augustissimae Familiae* TUAE hoc et futuro aevo largissime et cumulatissime contingant, summa animi pietate atque ardentissimis precibus opto.

IMPERATORIAE MAIESTATI TUAE

WITTENBERGAE
D. 1. MAI. 1803.

MAXIME DEVOTUS

CHRISTIAN. FRIDER. DE MATTHAEI
COLLEGIORUM IMPERIALIUM ROSSICORUM
ASSESSOR ET PROFESSOR WITTENBERGENSIS.

Εὐαγγέλιον

κατὰ

Ματθαῖον.

A. I, 1. [Ἀρχή.] Βίβλος γενέσεως ἰησοῦ χριστοῦ, υἱοῦ A. γ.
* δαυὶδ, υἱοῦ * ἀβραάμ.
2. ἀβραὰμ ἐγέννησε τὸν ἰσαάκ· ἰσαὰκ δὲ ἐγέννησε τὸν ἰακώβ· ἰακὼβ δὲ ἐγέννησε τὸν ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ·
3. ἰούδας δὲ ἐγέννησε τὸν φαρὲς καὶ τὸν ζαρὰ ἐκ τῆς θάμαρ· φαρὲς δὲ ἐγέννησε τὸν ἐσρώμ· ἐσρὼμ δὲ ἐγέννησε τὸν ἀράμ·

Ἐκκλησιαστικῶν ἀναγνωσμάτων ἐπιγραφαὶ καὶ ἀρχαί.

I, 1. A. κυριακῇ πρὸ τῆς χριστοῦ γεννήσεως· (καὶ τῶν ἁγίων πατέρων·) βίβλος γενέσεως.

Διάφορος γραφὴ καί τινες σημειώσεις ἄλλαι.

I, 1. δαβὶδ] δαυίδ. Ita ubique edidimus, moti vetustissimorum Codd. auctoritate.

ἀβραὰμ] ἀβραάμ. Ita constanter Codd. Graecc. contra Hebraicum.

ἀρὰμ δὲ ἐγέννησε τὸν ἀμιναδάβ· ἀμιναδὰβ 4.
δὲ ἐγέννησε τὸν ναασσών· ναασσὼν δὲ ἐγέννη-
σε τὸν σαλμών·
σαλμὼν δὲ ἐγέννησε τὸν βοὸζ ἐκ τῆς ῥαχάβ· 5.
βοὸζ δὲ ἐγέννησε τὸν ὠβὴδ ἐκ τῆς ῥούθ· ὠβὴδ
δὲ ἐγέννησε τὸν ἰεσσαί·
ἰεσσαὶ δὲ ἐγέννησε τὸν δαυὶδ τὸν βασιλέα· 6.
δαυὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν * σολομῶ-
να ἐκ τῆς τοῦ οὐρίου·
σολομὼν δὲ ἐγέννησε τὸν ῥοβοάμ· ῥοβοὰμ δὲ 7.
ἐγέννησε τὸν ἀβιά· ἀβιὰ δὲ ἐγέννησε τὸν
ἀσά·
ἀσὰ δὲ ἐγέννησε τὸν ἰωσαφάτ· ἰωσαφὰτ δὲ 8.
ἐγέννησε τὸν ἰωράμ· ἰωρὰμ δὲ ἐγέννησε τὸν
ὀζίαν·
ὀζίας δὲ ἐγέννησε τὸν ἰωάθαμ· ἰωάθαμ δὲ 9.
ἐγέννησε τὸν ἄχαζ· ἄχαζ δὲ ἐγέννησε τὸν
ἐζεκίαν·
ἐζεκίας δὲ ἐγέννησε τὸν * μανασσῆν· μανασ- 10.
σῆς δὲ ἐγέννησε τὸν ἀμών· ἀμὼν δὲ ἐγέννησε
τὸν ἰωσίαν·

ἰωσίας

5. ἐκ τῆς ῥαχάβ] — E. ἐκ τῆς ῥαάβ. E.
6. ὁ βασιλεὺς] — E.
σολομῶντα] σολομῶνα. In plerisque et praestantioribus Codd. V. et N. Test. scribitur σολομών, ῶνος, interdum etiam σολομῶν, ῶνος, in paucioribus σόλομων, όμωνος. Σολομῶν, ῶντος, quod etiam occurrit, ad graecum Ξενοφῶν et similia videtur formatum.
10. μανασσῆ] μανασσῆν.

11. ἰωσίας δὲ ἐγέννησε τὸν ἰε
φοὺς αὐτοῦ, ἐπὶ τῆς
τος.

12. μετὰ δὲ τὴν μετοικεσίαν
ἐγέννησε τὸν σαλαθιὴλ
νησε τὸν ζοροβάβελ·

13. ζοροβάβελ δὲ ἐγέννησε
δὲ ἐγέννησε τὸν ἐλιακεί
σε τὸν ἀζώρ·

14. ἀζὼρ δὲ ἐγέννησε τὸν σ
νησε τὸν ἀχεὶμ· ἀχε
ἐλιούδ·

15. ἐλιοὺδ δὲ ἐγέννησε τὸν
ἐγέννησε τὸν ματθάν·
τὸν ἰακώβ·

16. ἰακὼβ δὲ ἐγέννησε τὸν ἰ
ρίας, ἐξ ἧς ἐγεννήθη ἰη
στός.

17. πᾶσαι οὖν αἱ γενεαὶ, ἀπ
γενεαὶ δεκατέσσαρες· κ
μετοικεσίας βαβυλῶνος
ρες· καὶ ἀπὸ τῆς με
ἕως τοῦ χριστοῦ, γενεαὶ
λος.]

11. ἐγέννησε] + τὸν ἰωακείμ·
ε [illegible] ἐγέννησε δὲ ἐγέ

Γ. ι. [Ἀρχή.] τοῦ δὲ ἰησοῦ χριςοῦ ἡ γέννησις οὕτως 18. Β.
ἦν. μνηςευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ μα-
ρίας τῷ ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέ-
θη ἐν γαςρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου.
Δ. ι. ἰωσὴφ δὲ, ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ 19.
θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη
λάθρα ἀπολῦσαι αὐτήν.
ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ, ἄγγε- 20.
λος κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων·
ἰωσὴφ, υἱὸς δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν
μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ
γεννηθὲν, ἐκ πνεύματός ἐςιν ἁγίου.
τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐ- 21.
τοῦ ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥη- 22.
θὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέ-
γοντος·
ἰδοὺ, ἡ παρθένος ἐν γαςρὶ ἕξει, καὶ τέξεται 23.
υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ἐμμα-
νουήλ· ὅ ἐςι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ
θεός.

διεγερ-

I. 18. B. εἰς τὸν ὅρθρον τῆς χριστοῦ γεννήσεως· τοῦ [δὲ] ἰησοῦ χριστοῦ ἡ γέννησις.

18. ἰησοῦ] [E.
γέννησις] γένεσις. E.
19. παραδειγματίσαι] δειγματίσαι. E.
21. τὸν λαὸν αὐτοῦ]. Et hic et alibi edidimus αὐτοῦ auctoritate Codd. v. hic Beng. et P. ad Iacob. I. 8.

24. διεγερθεὶς δὲ ὁ ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ.

25. καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰησοῦν. [Τέλος.] Τέλος τῆς κυριακῆς καὶ τοῦ ἑσ-θέρου.

Α. περὶ τῶν μάγων.

Γ. II, 1. [Ἀρχή.] Τοῦ δὲ ἰησοῦ γεννηθέντος ἐν βηθ- Β. ζ.
λεὲμ τῆς ἰουδαίας, ἐν ἡμέραις ἡρώδου τοῦ βασιλέως, ἰδοὺ, μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς ἱεροσόλυμα, λέγοντες·

2. ποῦ ἐςιν ὁ τεχθεὶς βασιλεὺς τῶν ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀςέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.

3. ἀκούσας δὲ ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα ἱεροσόλυμα μετ᾽ αὐτοῦ.

4. καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ᾽ αὐτῶν, ποῦ ὁ χριςὸς γεννᾶται.

5. οἱ δὲ εἶπον αὐτῷ· ἐν βηθλεὲμ τῆς ἰουδαίας. οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου·

6. καὶ σὺ βηθλεὲμ, γῆ ἰούδα, οὐδαμῶς ἐλαχίςη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅςις ποιμανεῖ τὸν λαόν μου τὸν ἰσραήλ.

τότα

II, 1. Γ. τῇ κε. δεκεμβρίου εἰς τὴν λειτουργίαν τῆς χριςοῦ γεννήσεως· τοῦ ἰησοῦ γεννηθέντος ἐν.

II, 1. ἱεροσόλυμα] ἱερουσαλήμ. Α.

S. ι. τότε ἡρώδης λάθρα καλέσας τοὺς μάγους, 7.
ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινο-
μένου ἀστέρος.
καὶ πέμψας αὐτοὺς εἰς βηθλεὲμ, εἶπε· πο- 8.
ρευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παι-
δίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως
κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.
οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν· 9.
καὶ ἰδοὺ, ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ,
προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν
τὸ παιδίον.
ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν με- 10.
γάλην σφόδρα.
καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, * εἶδον τὸ παι- 11.
δίον μετὰ μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ
πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες
τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ
δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν.
καὶ χρηματισθέντες κατ᾽ ὄναρ, μὴ ἀνακάμ- 12.
ψαι πρὸς ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρη-
Τέλος τῆς λειτουργίας. σαν εἰς τὴν χώραν αὐτῶν. [Τέλος.]
[Ἀρχή.] ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ, ἄγ- 13. Δ.
γελος κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ ἰωσὴφ,
λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ
τὴν

II, 13. Δ. τῇ κς. δεκεμβρίου, εἰς τὴν σύναξιν τῆς ὑπεραγίας θεοτόκου, καὶ κυριακῇ μετὰ τὴν χριστοῦ γέννησιν, καὶ τῶν ἁγίων νηπίων· ἀναχωρησάντων τῶν μάγων, ἰδού.

11. εὗρον] εἶδον.

τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς αἴγυπτον, καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοί. μέλλει γὰρ ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό.

14. ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς αἴγυπτον.

15. καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς ἡρώδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.

B. περὶ τῶν ἀναιρεθέντων νηπίων.

16. τότε ἡρώδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

17. τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ ἱερεμίου τοῦ προφήτου λέγοντος·

18. φωνὴ ἐν ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. [Τέλος.] Τέλος ἐν τῇ ἑορτῇ τῶν νηπίων.

19. τελευτήσαντος δὲ τοῦ ἡρώδου, ἰδοὺ, ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ ἰωσὴφ ἐν αἰγύπτῳ

λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ 20.
τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν ἰσραήλ·
τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ
παιδίου.

ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν 21.
μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν ἰσραήλ.
ἀκούσας δὲ ὅτι ἀρχέλαος βασιλεύει ἐπὶ τῆς 22.
ἰουδαίας ἀντὶ ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφο-
βήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ'
ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς γαλι-
λαίας,
καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην 23.
ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν
Τέλος πάντων. προφητῶν, ὅτι ναζωραῖος κληθήσεται. [Τέ-
λος.]

Γ. πρῶτος ἰωάννης ἐκήρυξε βασιλείαν οὐρανῶν.

Ζ. γ. [Ἀρχή.] Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις πα- III, 1. E.
ραγίνεται ἰωάννης ὁ βαπτιστὴς, κηρύσσων ἐν
τῇ ἐρήμῳ τῆς ἰουδαίας
καὶ λέγων, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασι- 2.
λεία τῶν οὐρανῶν.
Η. α. οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ ἡσαΐου τοῦ προ- 3.
φήτου λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρή-
μῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποι-
εῖτε τὰς τρίβους αὐτοῦ.

αὐτὸς

III, 1. E. σαββάτῳ πρὸ τῶν φώτων ἤτοι τῶν ἁγίων θεοφανίων· τῷ καιρῷ ἐκείνῳ παραγίνεται ἰωάννης ὁ βαπτιστής.

4. αὐτὸς δὲ ὁ ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ Θ. γ.
ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην
περὶ τὴν ὀσφῦν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν
ἀκρίδες καὶ μέλι ἄγριον.
5. τότε ἐξεπορεύετο πρὸς αὐτὸν ἱεροσόλυμα·
καὶ πᾶσα ἡ ἰουδαία καὶ πᾶσα ἡ περίχωρος
τοῦ ἰορδάνου· Ι
6. καὶ ἐβαπτίζοντο ἐν τῷ ἰορδάνῃ ὑπ᾽ αὐτοῦ,
ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. [Τέ- Τέλος ἐν τισι τοῦ σαββάτου.
λος.]
7. ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων καὶ σαδδου- Ι. ε.
καίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ,
εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδει-
ξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀρ-
γῆς;
8. ποιήσατε οὖν * καρπὸν ἄξιον τῆς μετανοίας.
9. καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα
ἔχομεν τὸν ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι
δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι
τέκνα τῷ ἀβραάμ.
10. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δέν-
δρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν
καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.
11. ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετά- ΙΑ. α.
νοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότε-
ρός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδή-
ματα

III, 6. ἰορδάνῃ] + ποταμῷ. Σ. v. Euth. p. 124.
8. καρποὺς ἀξίους] καρπὸν ἄξιον. v. P.

μα̃τα βαςάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν
Τέλος ἐν ἄλλοις τοῦ σαββάτου. πνεύματι ἁγίῳ. * [Τέλος.]
ΙΒ. ι. οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακα- 12.
θαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν
σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον
κατακαύσει πυρὶ ἀσβέςῳ.
ΙΓ. ι. [Ἀρχή.] τότε παραγίνεται ὁ ἰησοῦς ἀπὸ τῆς 13. S.
γαλιλαίας ἐπὶ τὸν ἰορδάνην πρὸς τὸν ἰωάν-
νην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ.
ὁ δὲ ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ 14.
χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ
ἔρχῃ πρός με;
ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπε πρὸς αὐτόν· ἄφες 15.
ἄρτι. οὕτω γὰρ πρέπον ἐςὶν ὑμῖν πληρῶσαι
πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν.
ΙΔ. κ. καὶ βαπτισθεὶς ὁ ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ 16.
τοῦ ὕδατος· καὶ ἰδοὺ, ἀνεῴχθησαν αὐτῷ οἱ
οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ κατα-
βαῖνον ὡσεὶ περιςερὰν, καὶ ἐρχόμενον ἐπ'
αὐτόν.
καὶ ἰδοὺ, φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός 17.
ἐςιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.
Τέλος τῆς λειτουργίας. [Τέλος.]

Τότε

III, 13. S. ἰαννουαρίῳ ς. εἰς τὴν λειτουργίαν τῶν ἁγίων ... θεοφανίων· τῷ καιρῷ ἐκείνῳ παραγίνεται ὁ ἰησοῦς.

11. ἁγίῳ καὶ πυρὶ] καὶ πυρὶ — P.

12. σῖτον αὐτοῦ] αὐτοῦ — B.

Z. IV, 1. Τότε [Ἀρχή.] ὁ ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρη- ΙΕ. β.
μον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ
τοῦ διαβόλου.

2. καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύ- ΙΣ. ε.
κτας τεσσαράκοντα, ὕστερον ἐπείνασε.

3. καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· εἰ
υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρ-
τοι γένωνται.

4. ὁ δὲ ἀποκριθεὶς εἶπε· γέγραπται· οὐκ ἐπ'
ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ
παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος
θεοῦ.

5. τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν
ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτε-
ρύγιον τοῦ ἱεροῦ,

6. καὶ λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε
σεαυτὸν κάτω· γέγραπται γὰρ ὅτι τοῖς
ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ
χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς
λίθον τὸν πόδα σου.

7. ἔφη αὐτῷ ὁ ἰησοῦς· πάλιν γέγραπται· οὐκ
ἐκπειράσεις κύριον τὸν θεόν σου.

8. πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς
ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας
τὰς

IV, 1. Z. σαββάτῳ μετὰ τὰ φῶτα· τῷ καιρῷ ἐκείνῳ ἀν-
ήχθη ὁ ἰησοῦς εἰς τὴν ἔρημον.

IV, 2. καὶ νύκτας τεσσαράκοντα] — E.

4. ἐπὶ παντὶ] ἐν παντί. E.

7. ἰησοῦς· πάλιν.] ἰησοῦς πάλιν· E.

τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν
αὐτῶν.

καὶ λέγει αὐτῷ· ταῦτα πάντα σοι δώσω, 9.
ἐὰν πεσὼν προσκυνήσῃς μοι.

τότε λέγει αὐτῷ ὁ ἰησοῦς· ὕπαγε * ὀπίσω 10.
μου σατανᾶ· γέγραπται γάρ· κύριον τὸν θεόν
σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύ-
σεις.

ΙΖ. ς. τότε ἀφίησιν αὐτὸν ὁ διάβολος· καὶ ἰδού, 11.
Τέλος τοῦ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ. [Τέ-
σαββάτου. λος.]

ΙΗ. δ. [Ἀρχή.] ἀκούσας δὲ ὁ ἰησοῦς ὅτι ἰωάννης 12. Η.
παρεδόθη, ἀνεχώρησεν εἰς τὴν γαλιλαίαν.

ΙΘ. ζ. καὶ καταλιπὼν τὴν ναζαρέτ, ἐλθὼν κατῴ- 13.
κησεν εἰς καπερναοὺμ τὴν παραθαλασσίαν,
ἐν ὁρίοις ζαβουλὼν καὶ νεφθαλείμ·

ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προ- 14.
φήτου λέγοντος·

γῆ ζαβουλὼν καὶ γῆ νεφθαλείμ, ὁδὸν θα- 15.
λάσσης, πέραν τοῦ ἰορδάνου, γαλιλαία τῶν
ἐθνῶν.

ὁ

IV, 12. Η. κυριακῇ μετὰ τὰ φῶτα· τῷ καιρῷ ἐκείνῳ
ἀκούσας ὁ ἰησοῦς, ὅτι ἰωάννης παρεδόθη.

9. προσκυνήσῃς] προσκυνήσεις. B.
10. ὕπαγε] + ὀπίσω μου.
12. ὁ ἰησοῦς] — E.
13. καπερναοὺμ] καφαρναούμ. E. v. P.

16. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέ-
γα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ
θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς.

Δ. Περὶ τῆς διδασκαλίας τοῦ σωτῆρος.

17. ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς κηρύσσειν καὶ λέ- Κ. γ.
γειν· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν
οὐρανῶν.` [Τέλος.] Τέλος τῆς κυριακῆς.
Θ. 18. [Ἀρχή.] περιπατῶν δὲ * παρὰ τὴν θάλασ-
σαν τῆς γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, σί-
μωνα τὸν λεγόμενον πέτρον, καὶ ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς
τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς.
19. καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ΚΑ. β.
ὑμᾶς ἁλιεῖς ἀνθρώπων.
20. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθη-
σαν αὐτῷ.
21. καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελ- ΚΒ. γ.
φοὺς, ἰάκωβον τὸν τοῦ ζεβεδαίου, καὶ ἰωάν-
νην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ
ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας
τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς.
22. οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πα-
τέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

καὶ

IV, 18. Θ. κυριακῇ β. μετὰ τὴν τῶν ἁγίων πάντων· τῷ καιρῷ ἐκείνῳ περιπατῶν ὁ ἰησοῦς παρὰ τὴν θάλασσαν.

18. ὁ ἰησοῦς παρὰ] ὁ ἰησοῦς. —. v. P. Euth. p. 134.

ΚΓ. α. καὶ περιῆγεν ὅλην τὴν γαλιλαίαν ὁ ἰησοῦς, 23.
διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ
κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ
θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλα-
Τέλος τῆς κυριακῆς. κίαν ἐν τῷ λαῷ. [Τέλος.]
καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν συ- 24.
ρίαν· καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κα-
κῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις
συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σελη-
νιαζομένους, καὶ παραλυτικούς· καὶ ἐθερά-
Τέλος ἐν ἄλλῳ. πευσεν αὐτούς. [Τέλος.]
καὶ [Ἀρχή.] ἠκολούθησαν αὐτῷ ὄχλοι πολ- 25. I.
λοὶ ἀπὸ τῆς γαλιλαίας καὶ δεκαπόλεως καὶ
ἱεροσολύμων καὶ ἰουδαίας, καὶ πέραν τοῦ ἰορ-
δάνου.

Ε. περὶ τῶν μακαρισμῶν.

ΚΔ. ι. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ V. 1.
καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μα-
θηταὶ αὐτοῦ.
ΚΕ. ι. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς 2.
λέγων·
ΚS. ι. μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐ- 3.
τῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

μακά-

IV, 25. I. τῇ γ. τῆς α. ἑβδομάδος ἤτοι τῇ γ. τῆς πεντηκοστῆς, καὶ ἰαννουαρίου ι. τοῦ ἁγίου γρηγορίου νύσσης, καὶ εἰς ἄλλους ὁσίους· τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ ἰησοῦ ὄχλοι...

4. μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακλη- KZ. ι.
θήσονται.

5. μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ κληρονομήσου-
σι τὴν γῆν.

6. μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δι- KH. ι.
καιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται.

7. μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθή- KΘ. ι.
σονται.

8. μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ
τὸν θεὸν ὄψονται.

9. μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ θεοῦ
κληθήσονται.

10. μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης·
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

11. μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώ- Λ. ι.
ξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ'
ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

12. χαίρετε καὶ ἀγαλλιᾶσθε· ὅτι ὁ μισθὸς ὑμῶν
πολὺς ἐν τοῖς οὐρανοῖς. [Τέλος.] οὕτω γὰρ
ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

13. ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας ΛΑ. β.
μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν
ἰσχύει

Τέλος τοῦ σαββάτου. ἐν ἄλλῳ· Τέλος τῶν ὁσίων. ἐν ἄλλοις· Τέλος τῆς γ.

V, 4. 5.] 5. ante 4. E. v. P. Contra Wetſtenium, qui nec Clementem, nec Euſebium accurate examinavit, alibi disputabo. Ceterum caput quintum et ſextum adeo ſunt notabilia, ut vel ex his ſoliis de Codicum, Verſionum, Patrum, commentatorum et ſcholiaſtarum auctoritate, item de ſide, ſcientia et acumine Criticorum ſerre liceat ſententiam.

ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ κατα-
Τέλος τῆς γ. πατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. [Τέλος.]
ΛΒ. β. [Ἀρχή.] ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ 14. ΙΑ.
ἐν ἄλλοις δὲ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κει-
οὐ κεῖται τὰ
ἀπὸ τοῦ· οὕ- μένη.
τω γὰρ, ἕως οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ 15.
τοῦ· ἀνθρώ- τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμ-
πων. πει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.
οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν 16.
τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ
ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν
ἐν τοῖς οὐρανοῖς.
ΛΓ. ι. μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον 17.
ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι,
ἀλλὰ πληρῶσαι.
ΛΔ. ι. ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐ- 18.
ρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ
παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γέ-
νηται.
ΛΕ. ι. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων 19.
τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώ-
πους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ
τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ,
οὗτος

V, 14. ΙΑ. εἰς ἱεράρχας, καὶ εἰς τὴν ἁγίαν γ. σύνοδον. καὶ ἐν ἄλλοις, κυριακῇ β. μετὰ τὴν ι. ἰουλίου, ἐν ᾗ καὶ τὰ προάλλακτα τελεῖται, καὶ ὀκτωβρίου ια. τῶν ἁγίων ἀρσακίου καὶ νεκταρίου· εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς. Ἐν ἄλλοις ἀρχή ἐστιν ἀπὸ τοῦ, ὑμεῖς ἐστε τὸ ἅλας.

19. διδάξῃ, οὗτος μέγας] διδάξῃ οὕτω, μέγας. E.

οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. [Τέλος.] Τέλος τῶν
ΙΒ. 20. λέγω γὰρ ὑμῖν, ὅτι [Ἀρχή.] ἐὰν μὴ περισ- ἱεραρχῶν.
σεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμ-
ματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς
τὴν βασιλείαν τῶν οὐρανῶν.
21. ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· οὐ φονεύ-
σεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ
κρίσει.
22. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ
ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει·
ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνο-
χος ἔσται τῷ συνεδρίῳ· ὃς δ᾽ ἂν εἴπῃ μωρέ,
ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός.
23. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυ-
σιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου
ἔχει τὶ κατὰ σοῦ,
24. ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυ-
σιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι
τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε
τὸ δῶρόν σου.
25. ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σοῦ ταχὺ, ἕως ὅτου ΛΣ. ι.
εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ· μήποτέ σε παραδῷ
ὁ

V, 20. ΙΒ. μετὰ τὴν πεντηκοστὴν, τῇ δ. τῆς α. ἑβδομάδος· εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν μὴ περισσεύσῃ.

22. εἰκῆ] — E. v. Wetst. P. Ascetice, non critice, disputatum est contra hoc vocabulum. Hieronymi autem fides critica h. l. passa est naufragium.

ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε πα-
ραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βλη-
θήσῃ.
ἀμὴν λέγω σοὶ, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως 26.
Τέλος ἐν τισι τῆς δ. ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. [Τέλος.]
ΛΖ. ι. [Ἀρχή.] ἠκούσατε ὅτι ἐῤῥέθη· * οὐ μοιχεύ- 27. ΙΓ.
σεις.
ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖ- 28.
κα πρὸς τὸ ἐπιθυμῆσαι * αὐτὴν, ἤδη ἐμοί-
χευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.
εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει 29.
σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· συμφέ-
ρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου,
καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέεν-
ναν.
καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκ- 30.
κοψον αὐτὴν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει
γάρ

V, 27. ΙΓ. μετὰ τὴν πεντηκοστὴν, τῇ ε. τῆς α. ἑβδομάδος· εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἠκούσατε, ὅτι ἐῤῥέθη· [ἐῤῥήθη] οὐ μοιχεύσεις. Ἐν ἄλλοις οὕτως ἄρχεται· εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι ἐῤῥήθη τοῖς ἀρχαίοις, ὃς ἄν. [v. 31.] τελειοῦται δὲ ἐν τῷ· μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο.

27. ἐῤῥέθη τοῖς ἀρχαίοις] τοῖς ἀρχαίοις —.

28. βλέπων] ἐμβλέπων t ἐμβλέψας t ἐπιβλέψας. E. v. P. Euth. p. 134. Occurrit etiam προσβλέπων. Cùm βλέπων hoc ſenſu non eſſet graecum, Patres graeci varii varie hoc vocabulum vexarunt, quod Codd. auctoritate ſiniter conſiſtit.

ibid. ἐπιθυμῆσαι αὐτῆς] ἐπιθυμῆσαι αὐτήν. Illud ex graecismo.

γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου,
καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέεν-
ναν. [Τέλος.] Τέλος τῆς δ.

ΙΓ. 31. [Ἀρχή.] ἐῤῥέθη δὲ, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυ-
ναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον.

32. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν
γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας,
ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν ἀπολε-
λυμένην γαμήσῃ, μοιχᾶται. [Τέλος.] Τέλος τῆς ε.

ΙΔ. 33. πάλιν [Ἀρχή.] ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρ-
χαίοις· οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ κυ-
ρίῳ τοὺς ὅρκους σου. [Τέλος.] Τέλος ἐν τισι τῆς δ.

34. ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· μήτε ἐν
τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ·

35. μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν πο-
δῶν αὐτοῦ· μήτε εἰς ἱεροσόλυμα, ὅτι πόλις
ἐστὶ τοῦ μεγάλου βασιλέως.

36. μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύ-
νασαι μίαν τρίχα, λευκὴν ἢ μέλαιναν, ποι-
ῆσαι.

37. ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ ναί, οὒ οὔ· τὸ δὲ
περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν.

38. ἠκούσατε ὅτι ἐῤῥέθη· ὀφθαλμὸν ἀντὶ ὀφθαλ-
μοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος.

ἐγὼ

V, 33. ΙΔ. τῇ παρασκευῇ τῆς α. ἑβδομάδος· εἶπεν ὁ κύ-
ριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἠκούσατε, ὅτι ἐῤῥέθη
[ἐῤῥήθη] τοῖς ἀρχαίοις· οὐκ ἐπιορκήσεις.

32. ὃς ἂν ἀπολύσῃ] πᾶς ὁ ἀπολύων. D. v. Chryſoſt. VII,
226. e. [illegible]. c.

ΛΗ. ι. ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· 39.
ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σια-
γόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶ- 40.
νά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

ΛΘ. ι. καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ᾽ 41.
Τέλος τῆς αὐτοῦ δύο. [Τέλος.]
παρασκευῆς καὶ ἔν τισι [Ἀρχή.] τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέ- 42. ΙΕ.
τῆς ι. λοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς.

ἠκούσατε ὅτι ἐῤῥέθη· ἀγαπήσεις τὸν πλησίον 43.
σου, καὶ μισήσεις τὸν ἐχθρόν σου.

Μ. ι. ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς 44.
ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς,
καλῶς ποιεῖτε * τοῖς μισοῦσιν ὑμᾶς, καὶ
προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ⌜καὶ ⌜ὑμᾶς
διωκόντων ὑμᾶς.

ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν 45.
οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ
πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δι-
καίους καὶ ἀδίκους.

ΜΑ. ι. ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, 46.
τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ
αὐτὸ ποιοῦσι;

καὶ

V, 42. ΙΕ. σαββάτῳ α. μετὰ τὴν πεντηκοστήν· εἶπεν ὁ κύ-
ριος· τῷ αἰτοῦντί σε δίδου. -

44. τοὺς μισοῦντας] τοῖς μισοῦσιν.

47. καὶ ἐὰν ἀσπάσησθε τοὺς * φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν;

48. ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι. [Τέλος.] Τέλος του σαββάτου.

VI, 1. IS. [Ἀρχή.] Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. MB. 1.

2. ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

3. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου.

4. ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ.

καὶ

VI, 1. IS. σαββάτῳ τῆς τυροφάγου [καὶ ἐν τισι· τῇ γ. τῆς α. ἑβδ. τῶν νηστειῶν.] Εἶπεν ὁ κύριος· προσέχετε τὴν ἐλεημοσύνην.

47. τοὺς ἀδελφοὺς] τοὺς φίλους.

τελῶναι] ἐθνικοί. E.

οὕτω] τὸ αὐτό. E. v. Chryſoſt. VII, 607. e.

VI, 1. ἐλεημοσύνην] δικαιοσύνην. E. v. Beng. Wetſt. P.

4. αὐτὸς] — E. v. Wetſt.

καὶ ὅταν προσεύχῃ, ὀυκ ἔσῃ ὥσπερ ὁι ὑπο- 5.
κριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ
ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑςῶτες προσ-
εύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις·
ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν
ἀυτῶν.
σὺ δὲ ὅταν προσεύχῃ, ἔισελθε ἐις τὸ τα- 6.
μιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσ-
ευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ
ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀπο-
δώσει σοι ἐν τῷ φανερῷ.
ΜΓ. ι. προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ 7.
ὁι ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ
ἀυτῶν ἐισακουσθήσονται.
μὴ ὄυν ὁμοιωθῆτε ἀυτοῖς· ὄιδε γὰρ ὁ πατὴρ 8.
ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς ἀιτῆ-
σαι ἀυτόν.
ὄυτως ὄυν προσεύχεσθε ὑμεῖς· πάτερ ἡμῶν 9.
ὁ ἐν τοῖς ὀυρανοῖς, ἁγιασθήτω τὸ ὄνομά
σου·
ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλη- 10.
μά σου, ὡς ἐν ὀυρανῷ, καὶ ἐπὶ τῆς γῆς·
τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σή- 11.
μερον·
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ 12.
ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·

καὶ

5. ὅπως ἂν] ἂν — D. v. P. Chryſoſt. VII, 247. a. d.
6. ἐν τῷ φανερῷ] — E.

13. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ
ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σου ἐστιν ἡ
βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς
αἰῶνας· ἀμήν. [Τέλος.] Τέλος τοῦ σαββάτου.
IZ. 14. [Ἀρχή.] ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ ΜΔ. ϛ.
παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ
πατὴρ ὑμῶν ὁ οὐράνιος·
15. ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παρα-
πτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφή-
σει τὰ παραπτώματα ὑμῶν.
16. ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑπο- ΜΕ. ι.
κριταὶ, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσ-
ωπα

VI, 14. IZ. κυριακῇ τῆς τυροφάγου καὶ τῇ δ. τῆς α-
τῶν παννυχίδων· εἶπεν ὁ κύριος· ἐὰν ἀφῆτε τοῖς ἀν-
θρώποις.

13. ὅτι σου — ἀμήν.] — E. v. Beng. Wetst. P. Origenis quidem ad h. l. cavillationes interciderunt. Incipiunt enim Matth. XIII, 36. desinunt XXII, 33. Intelligitur tamen, eum auctorem esse harum corruptionum omnium, ex eius περὶ εὐχῆς libello, quo quidem libello equidem nihil usquam unquam inveni absurdius. Qualis criticus sit Hieronymus intelligere quodammodo licet vel ex Matth. V, 22. Qui haec tollunt, ii necessario ambabus manibus amplecti debent 1 Io. V, 7. Utriusque enim loci eadem est crisis. Atque posterior quidem locus fere totius ecclesiae latinae fide et auctoritate nititur. Quid, quod Hieronymus in praefatione *infideles* (h. e. ut ego interpretor, fide dignissimos,) *translatores* vehementissime accusat, *patris verbique ac spiritus testimonium omittentes.* Complutenses, mercenarii, non critici, hunc locum nullis rationibus criticis, sed ritibus liturgicis moti audacter excluserunt. Discitur id ex ipsorum ad h. l. animadversione.

ὦπα ἀυτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις
νηστεύοντες· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι
τὸν μισθὸν ἀυτῶν.
σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν, καὶ 17.
τὸ πρόσωπόν σου νίψαι·
ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλ- 18.
λὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ
πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώ-
σει σοι. *
MS. ι. μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, 19.
ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέ-
πται διορύσσουσι καὶ κλέπτουσι·
θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν ὀυρανῷ, 20.
ὅπου ὄυτε σὴς, ὄυτε βρῶσις ἀφανίζει, καὶ
ὅπου κλέπται ὀυ διορύσσουσιν, ὀυδὲ κλέπτου-
σιν.
Τέλος τῆς ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται 21.
κυριακῆς. καὶ ἡ καρδία ὑμῶν. [Τέλος.]
MZ. ι. [Ἀρχή.] ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφ- 22. IH.
θαλμός· ἐὰν ὄυν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,
ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται·
ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ 23.
σῶμά σου σκοτεινὸν ἔσται· ἐι ὄυν τὸ φῶς τὸ
ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον;

ὀυδεὶς

VI, 22. IH. κυριακῇ γ. ἶιπεν ὁ κύριος· ὁ λύχνος τοῦ σώ-
ματος.

18. κρυπτῷ] κρυφαίῳ. E.
σοὶ ἐν τῷ φανερῷ] ἐν τῷ φανερῷ —.

24. ὀυδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ ΜΗ. ι.
τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ
ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.
ὀυ δύνασθε θεῷ δουλεύειν καὶ * μαμωνᾷ.

25. διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυ- ΜΘ. ι.
χῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε· μηδὲ τῷ
σώματι ὑμῶν, τί ἐνδύσησθε. ὀυχὶ ἡ ψυχὴ
πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ
ἐνδύματος;

26. ἐμβλέψατε ἐις τὰ πετεινὰ τοῦ ὀυρανοῦ, ὅτι
ὀυ σπείρουσιν, ὀυδὲ θερίζουσιν, ὀυδὲ συνάγου-
σιν ἐις ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ ὀυρά-
νιος τρέφει ἀυτά· ὀυχ ὑμεῖς μᾶλλον διαφέ-
ρετε ἀυτῶν;

27. τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι
ἐπὶ τὴν ἡλικίαν ἀυτοῦ πῆχυν ἕνα;

28. καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμά-
θετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς ἀυξάνει· ὀυ
κοπιᾷ, ὀυδὲ νήθει·

29. λέγω δὲ ὑμῖν, ὅτι ὀυδὲ Σολομὼν ἐν πάσῃ τῇ
δόξῃ ἀυτοῦ περιεβάλετο ὡς ἓν τούτων.

30. ἐι δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα,
καὶ ἄυριον ἐις κλίβανον βαλλόμενον, ὁ θεὸς
ὄυτως ἀμφιέννυσιν, ὀυ πολλῷ μᾶλλον ὑμᾶς,
ὀλιγόπιστοι;

[Ἀρ-

24. μαμμωνᾷ] μαμωνᾷ. v. Wetst.

[Ἀρχή.] μὴ οὖν μεριμνήσητε, λέγοντες· τί 31. ΙΘ.
φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώ-
μεθα;
πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε 32.
γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε
τούτων ἁπάντων.
ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, 33.
καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάν-
Τέλος τῆς κυριακῆς. τα προστεθήσεται ὑμῖν. [Τέλος.]
μὴ οὖν μεριμνήσητε εἰς τὸν αὔριον· ἡ γὰρ 34.
αὔριον μεριμνήσει τὰ ἑαυτῆς. ἀρκετὸν τῇ
Ὑπέρβα εἰς τὴν β. ἡμέρᾳ ἡ κακία αὐτῆς. [Ὑπέρβα.]
Ν. β. [Ἀρχή.] Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. VII, 1. Κ.
ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ 2.
ἐν ᾧ μέτρῳ μετρεῖτε, * μετρηθήσεται ὑμῖν.
ΝΑ. ι. τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλ- 3.
μῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφ-
θαλμῷ δοκὸν οὐ κατανοεῖς;
ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· ἄφες ἐκβάλω 4.
τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου· καὶ ἰδοὺ
ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου;
ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ 5.
ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβα-
λεῖν

VI, 31. ΙΘ. τῇ β. τῆς β. ἑβδ. εἶπεν ὁ κύριος· μὴ μερι-
μνήσητε.

VII, 1. Κ. σαββάτῳ β. ἀπὸ τῶν ἁγίων πάντων· εἶπεν ὁ
κύριος· μὴ κρίνετε.

VII, 2. ἀντιμετρηθήσεται] μετρηθήσεται.

λεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελ-
φοῦ σου.

6. μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε NB. ι.
τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοί-
ρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς
ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

Ἀπὸ τοῦ, αἰτεῖτε, ἕως τοῦ, κρούοντι ἀνοιγήσε-

K. 7. [Ἀρχή.] αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖ- ΝΓ. ι.
τε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται
ὑμῖν.

ται, πρόσκειται ἔν τισι μετὰ τὸ να. κεφ. τοῦ κατὰ Μάρκον.

8. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν
εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. [Τέ-
λος.]

Τέλος τοῦ σαββάτου.

K. 9. [Ἄρξου.] ἢ [Ἀρχή.] τίς ἐστιν ἐξ ὑμῶν ἄν- Ἄρξου τῆς β.
θρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον,
μὴ λίθον ἐπιδώσει αὐτῷ;

10. καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει
αὐτῷ;

11. εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα
ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλ-
λον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δώσει
ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; [Τέλος.]

Τέλος τῆς β. καὶ ἔν τισι, τῆς παρασκευῆς, καὶ σεπτεμβρίου κε.

[Ἀρ-

VII, 7. K. σεπτεμβρίου κε. εἶπεν ὁ κύριος· αἰτεῖτε.

VII, 9. K. τῇ παρασκευῇ τῆς α. ἑβδ. ἔν τισιν οὕτως εὑρί-
σκεται· εἶπεν ὁ κύριος· τίς ἐξ ὑμῶν ἄνθρωπος, ὃν
ἐὰν αἰτήσῃ. Τέλος· πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ
ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν.
Ἐν ἄλλοις τέλος· καλοὺς ποιεῖν.

ΝΔ. ι. [Ἀρχή.] πάντα ὄυν ὅσα ἂν θέλητε ἵνα ποι- 12. ΚΑ.
ῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὅυτω καὶ ὑμεῖς ποι-
εῖτε αὐτοῖς· * ὅυτω γάρ ἐςιν ὁ νόμος καὶ οἱ
προφῆται.

ΝΕ. ι. ἐισέλθετε διὰ τῆς ςενῆς πύλης· ὅτι πλατεῖα 13.
ἡ πύλη, καὶ ἐυρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα
ἐις τὴν ἀπώλειαν, καὶ πολλοί ἐισὶν οἱ ἐισερ-
χόμενοι δι᾽ αὐτῆς,
* τί ςενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ 14.
ἀπάγουσα ἐις τὴν ζωὴν, καὶ ὀλίγοι ἐισιν οἱ
Τέλος μαρ-τύρων. ἐυρίσκοντες αὐτήν; [Τέλος.]

ΝϚ. ι. [Ἀρχή.] προσέχετε δὲ ἀπὸ τῶν ψευδοπρο- 15. ΚΒ.
φητῶν, ὅιτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύ-
μασι προβάτων, ἔσωθεν δέ ἐισι λύκοι ἅρπα-
γες.

ΝΖ. ι. ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. 16.
μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν ςαφυλὴν, ἢ
ἀπὸ τριβόλων σῦκα;

ΝΗ. ι. ὅυτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς 17.
ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς
ποιεῖ.

ὀυ

VII, 12. ΚΑ. ἐις μάρτυρας. ἐν ἄλλῳ ὀκτωβρίου ιγ. τῶν ἁγίων μαρτύρων κάρπου καὶ παπύλου· ἔιπεν ὁ κύριος· πάντα, ὅσα ἂν θέλητε.

VII, 15. ΚΒ. τῇ γ. τῆς β. ἑβδ. ἔιπεν ὁ κύριος· προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν.

12. ὅυτος γάρ] ὅυτω γάρ. v. P. Euth. 136.

14. ὅτι ςενὴ] τί ςενή. v. P. Euth. 135.

18. οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς
ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς
ποιεῖν. [Τέλος.] Τέλος ἐν τι-
σι τῆς πα-
ΚΒ. 19. [Ἀρχή.] πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ρασκευῆς.
ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

20. ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε
αὐτούς. [Τέλος] Τέλος τῆς γ.

ΚΓ. 21. [Ἀρχή.] οὐ πᾶς ὁ λέγων μοι, κύριε κύριε, ΝΘ. γ.
εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·
ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου Τέλος τῆς γ.
τοῦ ἐν οὐρανοῖς. [Τέλος.] καὶ τῶν μαρ-
τύρων. (ἁγί-
ων.)

22. πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· κύριε Ζ. ε.
κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ
τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ
σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;

23. καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε
ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργα- Τέλος τῆς δ.
ζόμενοι τὴν ἀνομίαν. [Τέλος.] καὶ ἐν τισι
τῆς β.

ΚΔ. 24. [Ἀρχή.] πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λό- ΞΑ. ε.
γους

VII, 19. ΚΒ. τῇ β. τῆς β. ἑβδ. ἐν τισιν οὕτως· εἶπεν ὁ κύριος· πᾶν δένδρον μὴ ποιοῦν. Τέλος· οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

VII, 21. ΚΓ. τῇ δ. τῆς β. ἑβδ. εἶπεν ὁ κύριος· οὐ πᾶς ὁ.

VII, 24. ΚΔ. σαββάτῳ γ. εἶπεν ὁ κύριος· πᾶς ὅστις ἀκούει μου τοὺς λόγους.

18. καλοὺς] ἀγαθούς. E. Cyrill. IV, 581. 906.

21 — 23. De interpolationibus Iustini et Clem. Rom. v. Olear. ad Matth. p. 238. seqq.

γους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐ-
τὸν ἀνδρὶ Φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν
αὐτοῦ ἐπὶ τὴν πέτραν·
καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποτα- 25.
μοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον
τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο
γὰρ ἐπὶ τὴν πέτραν.
καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, 26.
καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μω-
ρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν
ἄμμον·
καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, 27.
καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ
οἰκίᾳ ἐκείνῃ· καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐ-
τῆς μεγάλη.
κβ. β. καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λό- 28.
γους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ
διδαχῇ αὐτοῦ·
ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, 29.
καὶ οὐχ ὡς οἱ γραμματεῖς.

S. περὶ τοῦ λεπροῦ.

κγ. β. Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολού- VIII, 1.
θησαν αὐτῷ ὄχλοι πολλοί·

καὶ

24. ὁμοιώσω αὐτὸν] ὁμοιωθήσεται. E. v. P. Euth. I. 288. Chrysost. VII, 301. XI, 3. Cyrill. II, 77. d. 559. c.

27. προσέκοψαν] προσέῤῥηξαν t προσέκρουσαν t προσέπεσον. E. v. Euth. 135.

29. γραμματεῖς] + αὐτῶν καὶ οἱ Φαρισαῖοι. E.

2. καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέ-
γων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθα-
ρίσαι.

3. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ ἰη-
σοῦς, λέγων· θέλω, καθαρίσθητι. καὶ εὐθέως
ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

4. καὶ λέγει αὐτῷ ὁ ἰησοῦς· ὅρα μηδενὶ εἴπῃς·
ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ
προσένεγκε τὸ δῶρον ὃ προσέταξε μωῦσῆς,
εἰς μαρτύριον αὐτοῖς. [Τέλος.] Τέλος τοῦ σαββάτου.

Ζ. περὶ τοῦ ἑκατοντάρχου.

ΚΕ. 5. [Ἀρχή.] εἰσελθόντι δὲ * αὐτῷ εἰς καπερνα- ΞΔ. γ.
οὺμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρα-
καλῶν αὐτὸν,

6. καὶ λέγων· κύριε, ὁ παῖς μου βέβληται ἐν
τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμε-
νος.

7. καὶ λέγει αὐτῷ ὁ ἰησοῦς· ἐγὼ ἐλθὼν θερα-
πεύσω αὐτόν.

8. καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· κύριε,
οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλ-
θῃς,

VIII, 5. ΚΕ. κυριακῇ δ. τ. κ. ἑ. εἰσελθόντι τῷ ἰησοῦ εἰς καπερναούμ.

VIII, 2. ἐλθὼν] προσελθών. D. Cyrill. V, a. 304.[d. 79.

4. μωσῆς] Nullum Codicem reperi, in quo constanter eodem modo scriptum esset hoc nomen. Praestantiores fere scribunt μωϋσῆς, quod plerumque secutus sum. v. Wetst.

8. τῷ ἰησοῦ] αὐτῷ.

θῃς· ἀλλὰ μόνον εἰπὲ * λόγῳ, καὶ ἰαθήσε-
ται ὁ παῖς μου.
καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, 9.
ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τού-
τῳ, πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ,
ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποί-
ησον τοῦτο, καὶ ποιεῖ.
ἀκούσας δὲ ὁ ἰησοῦς ἐθαύμασε, καὶ εἶπε τοῖς 10.
ἀκολουθοῦσιν· ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ
ἰσραὴλ τοσαύτην πίστιν εὗρον.
ΖΕ. ι. λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ 11.
δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ
ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ ἐν τῇ βασι-
λείᾳ τῶν οὐρανῶν.
οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς 12.
τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθ-
μὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
ΖS. ι. καὶ εἶπεν ὁ ἰησοῦς τῷ * ἑκατοντάρχῃ· ὕπα- 13.
γε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι· καὶ ἰά-
θη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. [Τέ-
λος.]

Τέλος τῆς κυριακῆς. πρόσκειται δὲ ἔν τισι· καὶ ὑποστρέψας κ. τ. λ.

Η. περὶ

8. λόγον] λόγῳ.

9. καὶ γὰρ ἐγὼ] καὶ γὰρ καὶ ἐγώ. E. Chryfoft. VII, 314.

11. μετὰ ἀβραὰμ — οὐρανῶν] ἐν τοῖς κόλποις τοῦ ἀβραάμ. E. v. P. Euth. 92. 136. I, 308.

13. ἑκατοντάρχῳ] ἑκατοντάρχῃ. Idem quidem, fed ita h. l. Codd.

ibid. ὥρᾳ ἐκείνῃ] De appendice evangeliariorum v. P.

Η. περὶ τῆς πενθερᾶς πέτρου.

ΚΣ. 14. καὶ [Ἀρχή.] ἐλθὼν ὁ ἰησοῦς εἰς τὴν οἰκίαν ΞΖ. β.
πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημέ-
νην καὶ πυρέσσουσαν,

15. καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν
αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει
* αὐτῷ.

Θ. περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

16. ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαι-
μονιζομένους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύ-
ματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχον-
τας ἐθεράπευσεν·

17. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ ἠσαΐου τοῦ προ-
φήτου, λέγοντος· αὐτὸς τὰς ἀσθενείας ἡμῶν
ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν.

18. ἰδὼν δὲ ὁ ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐντεῦθεν ὑπερβαίνουσί τινα εἰς τό· καὶ ἐμβάντι.
ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

Ι. περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

19. καὶ προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ ΞΗ. ε.
διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ.

20. καὶ λέγει αὐτῷ ὁ ἰησοῦς· αἱ ἀλώπεκες φω-
λεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κα-
τασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ
ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ.

ἕτερος

VIII, 14. ΚΣ. σαββάτῳ δ. τ. κ. ι. ἐλθὼν (ἐν ἄλλοις· εἰσελθών.) ὁ ἰησοῦς εἰς τὴν οἰκίαν πέτρου.

16. αὐτοῖς] αὐτῷ.

ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· 21.
κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ
θάψαι τὸν πατέρα μου.

ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ· ἀκολούθει μοι, καὶ 22.
ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νε-
κρούς.

ΙΑ. περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

ΖΘ. β. καὶ [Ἀρχή.] ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, 23. ΚΖ.
Τέλος τοῦ σαββάτου. ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. [Τέ-
λος.]

καὶ ἰδοὺ, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θα- 24.
λάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν
κυμάτων· αὐτὸς δὲ ἐκάθευδε.

καὶ προσελθόντες οἱ μαθηταὶ * ἤγειραν αὐ- 25.
τὸν, λέγοντες· κύριε, σῶσον ἡμᾶς, ἀπολλύ-
μεθα.

καὶ λέγει αὐτοῖς· τί δειλοί ἐστε, ὀλιγόπιστοι; 26.
τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ
θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη.

οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· ποτα- 27.
πός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θά-
Τέλος τοῦ ἁγίου καὶ τῆς ε. λασσα ὑπακούουσιν αὐτῷ; [Τέλος.]

ΙΒ. πε-

VIII, 23. ΚΖ. τῇ ε. [ἐν ἄλλῳ· τῇ γ.] τῆς β. ἑβδ. καὶ ὀκτωβρίου κς. τοῦ ἁγίου δημητρίου. τ. κ. ε. ἐμβάντι τῷ ἰησοῦ εἰς πλοῖον.

25. μαθηταὶ αὐτοῦ] αὐτοῦ —.

ΙΒ. περὶ τῶν δαιμονιζομένων.

ΚΗ. 28. καὶ [Ἀρχή.] ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς
τὴν χώραν τῶν γεργεσηνῶν, ὑπήντησαν αὐ-
τῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερ-
χόμενοι, χαλεποὶ λίαν, ὥςε μὴ ἰσχύειν τινὰ
παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης,
29. καὶ ἰδοὺ ἔκραξαν, λέγοντες· τί ἡμῖν καὶ σοὶ,
ἰησοῦ υἱὲ τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ
βασανίσαι ἡμᾶς;
30. ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολ-
λῶν βοσκομένη·
31. οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες·
εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελ-
θεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων·
32. καὶ εἶπεν αὐτοῖς· ὑπάγετε· οἱ δὲ ἐξελθόντες
ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδοὺ,
ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ

κρη-

VIII. 28. ΚΗ. κυριακῇ ε. τ. κ. ἱ. ἐλθόντι τῷ ἰησοῦ εἰς τὴν χώραν τῶν γεργεσηνῶν.

28. γεργεσηνῶν] γερασηνῶν. E. γαδαρηνῶν. D. v. Wetst. et P. ad Marc. V, 1. Luc. VIII, 26. Euthym. I, 532.

29. ἰησοῦ] — E. Sigla ἰησοῦ ante υἱὲ facile negligebatur. Ἰησοῦ et ὧδε omittit Cyrill. V, b. 357. Utrumque servat ibid. 383.

31. ἐπίτρεψον ἡμῖν ἀπελθεῖν] ἀπόστειλον ἡμᾶς. E. v. Wetst. P. Cyrill. V, a. 306. [d. 79. Sed priori loco alia etiam mutat.

32. τὴν ἀγέλην τῶν χοίρων] τοὺς χοίρους. E. Ex Marco aut Luca.

τῶν χοίρων] — E.

κρημνοῦ ἐις τὴν θάλασσαν, καὶ ἀπέθανον
ἐν τοῖς ὕδασιν.
οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες ἐις 33.
τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν
δαιμονιζομένων.
καὶ ἰδοὺ, πᾶσα ἡ πόλις ἐξῆλθεν ἐις συνάν- 34.
τησιν τῷ ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκά-
λεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.
Ο. α. Καὶ [Ἀρχή.] ἐμβὰς ἐις τὸ πλοῖον, διεπέρα- IX, 1. ΚΘ.
Τέλος τῆς σε, καὶ ἦλθεν ἐις τὴν ἰδίαν πόλιν. [Τέλος.]
κυριακῆς.

ΙΓ. περὶ τοῦ παραλυτικοῦ.

καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ 2.
κλίνης βεβλημένον· καὶ ἰδὼν ὁ ἰησοῦς τὴν πί-
στιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· θάρσει τέ-
κνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.
καὶ ἰδοὺ, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυ- 3.
τοῖς· οὗτος βλασφημεῖ.
καὶ ἰδὼν ὁ ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, 4.
εἶπεν· ἱνατὶ ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς
καρδίαις ὑμῶν;
τί γάρ ἐστιν ἐυκοπώτερον, ἐιπεῖν, ἀφέωνταί * 5.
σου αἱ ἁμαρτίαι· ἢ ἐιπεῖν, ἔγειραι καὶ περι-
πάτει;

ἵνα

IX, 1. ΚΘ. κυριακῇ ς. τ. κ. ἑ. ἐμβὰς ὁ ἰησοῦς ἐις πλοῖον διεπέρασε.

IX, 2. ἰδὼν] ἐιδώς. E.

5. σοι αἱ] σου αἱ.

ἔγειραι] ἔγειρε. A. Ἔγειρε multi eiusmodi Codicce tuentur, in quibus nulla, est vocalium et diphthon-

gorum

6. ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

7. καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

8. ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις. [Τέλος.] Τέλος τῆς κυριακῆς.

ΙΔ. περὶ τοῦ ματθαίου.

Λ. 9. καὶ [Ἀρχή.] παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ΟΛ. β.
ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, ματθαῖον λεγόμενον· καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

10. καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, ΟΒ. β.
καὶ ἰδοὺ, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ.

11. καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;

12. ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· οὐ χρείαν ΟΓ. β.
ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

πορευ-

IX, 9. Λ. σαββάτῳ ε. καὶ νοεμβρίου ις. τοῦ ἁγίου ἀποστόλου ματθαίου· τ. κ. ε. παράγων ὁ Ἰησοῦς [ἐκεῖθεν] εἶδεν ἄνθρωπον.

gorum confusio. Intelligitur ergo σεαυτόν. Ἔγειραι defendit graecitas, quae ab his scriptoribus alibi etiam negligitur.

8. ἐθαύμασαν] ἐφοβήθησαν. E.

ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτη- 25.
σε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κορά-
σιον.

καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν 26.
Τέλος τοῦ σαββάτου. ἐκείνην. [Τέλος.]

ΙΖ. περὶ τῶν δύο τυφλῶν.

ΟΞ. ι. καὶ ['Αρχή.] παράγοντι ἐκεῖθεν τῷ ἰησοῦ, 27. ΛΓ.
ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ, κράζοντες
καὶ λέγοντες· ἐλέησον ἡμᾶς υἱὲ * δαυίδ.

ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ 28.
οἱ τυφλοὶ, καὶ λέγει αὐτοῖς ὁ ἰησοῦς· πιςἑ-
υετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν
αὐτῷ· ναὶ κύριε.

τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· 29.
κατὰ τὴν πίςιν ὑμῶν γενηθήτω ὑμῖν.

καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ 30.
ἐνεβριμήσατο αὐτοῖς ὁ ἰησοῦς, λέγων· ὁρᾶτε,
μηδεὶς γινωσκέτω.

οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ 31.
τῇ γῇ ἐκείνῃ.

ΙΗ. περὶ τοῦ δαιμονιζομένου κωφοῦ.

αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ, προσήνεγκαν αὐ- 32.
τῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον.

καὶ

X, 27. ΛΓ. κυριακῇ ζ. τ. κ. ἰ. παράγοντι [ἐκεῖθεν] τῷ ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο.

27. υἱὲ] υἱός. A.

33. καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ
κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες·
* οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ ἰσραήλ.
34. οἱ δὲ φαρισαῖοι ἔλεγον· ἐν τῷ ἄρχοντι τῶν
δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.
35. καὶ περιῆγεν ὁ ἰησοῦς τὰς πόλεις πάσας καὶ ΟΣ. β.
τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς
αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βα-
σιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ Τέλος τῆς
πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. [Τέλος.] κυριακῆς.
ΛΔ. 36. [Ἀρχή.] ἰδὼν δὲ τοὺς ὄχλους, ἐσπλαγχνίσθη ΟΖ. γ.
περὶ αὐτῶν, ὅτι ἦσαν * ἐσκυλμένοι καὶ ἐῤῥιμ-
μένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα.
37. τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· ὁ μὲν θε- ΟΗ. ς.
ρισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι.
38. δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως
ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

ΙΘ. περὶ τῆς τῶν ἀποστόλων διαταγῆς.

X, 1. ΛΔ. Καὶ [Ἀρχή.] προσκαλεσάμενος τοὺς δώδεκα ΟΘ. β.
μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευ-
μάτων

IX, 36. ΛΔ. τῇ β. [ἐν ἄλλῳ, τῇ ε.] τῆς γ. ἑβδ. [ἐν ἄλλῳ, ἰουνίου λ. τῶν ἁγίων ιβ. ἀποστόλων,] τ. κ. ἰ. ἰδὼν [εἶδεν] ὁ ἰησοῦς [τοὺς ὄχλους.] πολὺν ὄχλον [καὶ] ἐσπλαγχνίσθη.

X, 1. ΛΔ. τῇ λ. ἰουνίου, τῶν ἁγίων ιβ. ἀποστόλων καὶ τῇ α. νοεμβρίου, τῶν ἁγίων ἀναργύρων· τ. κ. ἰ. προσκαλεσάμενος ὁ ἰησοῦς τοὺς δώδεκα.

33. λέγοντες· ὅτι] ὅτι —.

35. ἐν τῷ λαῷ] — D.

36. ἐκλελυμένοι] ἐσκυλμένοι.

X, 1. ἐξουσίαν] + κατὰ E.

μάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ
Ὑπέρβα τῶν ἁγίων ἀναργύρων. θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλα-
κίαν. [Ὑπέρβα.]

Π. β. τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι 2.
ταῦτα· πρῶτος σίμων, ὁ λεγόμενος πέτρος,
καὶ ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· ἰάκωβος ὁ
τοῦ ζεβεδαίου, καὶ ἰωάννης ὁ ἀδελφὸς αὐ-
τοῦ,

φίλιππος, καὶ βαρθολομαῖος· θωμᾶς, καὶ 3.
ματθαῖος ὁ τελώνης· ἰάκωβος ὁ τοῦ ἀλ-
φαίου, καὶ λεββαῖος ὁ ἐπικληθεὶς θαδ-
δαῖος.

σίμων ὁ κανανίτης, καὶ ἰούδας * ἰσκαριώτης, 4.
ὁ καὶ παραδοὺς αὐτόν.

ΠΑ. ι. [Ἄρξου.] τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ 5.
Ἄρξου τῶν ἁγίων ἀναργύρων. ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· εἰς ὁδὸν
ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν σαμαρει-
τῶν μὴ εἰσέλθητε·

πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ 6.
ἀπολωλότα οἴκου ἰσραήλ.

πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· ὅτι ἤγ- 7.
γικεν ἡ βασιλεία τῶν οὐρανῶν.

ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζε- 8.
τε, * δαιμόνια ἐκβάλλετε. δωρεὰν ἐλάβετε,
Τέλος πάντων. δωρεὰν δότε. [Τέλος.]

[Ἀρ-

3. λεββαῖος ὁ ἐπικληθεὶς] — E.
4. ἰούδας ὁ] ὁ —.
5. τοὺς δώδεκα] — E. v. P.
8. καθαρίζετε, νεκροὺς ἐγείρετε] νεκροὺς ἐγείρετε. — v. Euth. 137.

ΛΕ. 9. [Ἀρχή.] μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυ- ΠΒ. β.
ρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.

10. μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ
ὑποδήματα, μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργά-
της τῆς τροφῆς αὐτοῦ ἐςιν.

11. εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετά- ΠΓ. β.
σατε τίς ἐν αὐτῇ ἄξιός ἐςι· κἀκεῖ μείνατε,
ἕως ἂν ἐξέλθητε.

12. εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε ΠΔ. ι.
αὐτήν.

13. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρή-
νη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ
εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιςραφήτω.

14. καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ ΠΕ. β.
τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ
τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορ-
τὸν τῶν ποδῶν ὑμῶν.

15. ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔςαι γῇ σοδό-
μων καὶ γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ
πόλει ἐκείνῃ. [Τέλος.] Τέλος τῆς γ.

[Ἀρ-

X, 9. ΛΕ. τῇ γ. τῆς γ. [ἐν ἄλλῳ· τῇ ϛ. τῆς β.] ἐβδ. εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ κτήσησθε.

10. ῥάβδον] ῥάβδους. A.

12. αὐτήν] + λέγοντες· εἰρήνη τῷ οἴκῳ τούτῳ. E. v. Euth. II, 410.

13. οἰκία] + αὕτη l. ἐκείνη. E. v. Euth. I, 392.

15. γομόῤῥων] γομόῤῥας. E.

καὶ μὴ * φοβεῖσθε ἀπὸ τῶν * ἀποκτενόντων 28.
τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀπο-
κτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον
καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.
οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν 29.
ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ
πατρὸς ὑμῶν;
ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι 30.
ἠριθμημέναι εἰσί.
Τέλος τῆς ε. καὶ ἔν τισι τῆς γ. μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέ- 31.
ρετε ὑμεῖς. [Τέλος.]
ϛΔ. β. [Ἀρχή.] πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ 32. ΛΗ.
ἔμπρο-

X, 32. ΛΗ. κυριακῇ α. τῶν ἁγίων πάντων καὶ τῇ ϛ. ἤτοι τῇ παρασκευῇ τῆς γ. ἑβδ. τὸ αὐτὸ καὶ τῇ κβ. ἰανουαρίου, τοῦ ἁγίου τιμοθέου καὶ ἀναστασίου. [τοῦ πέρσου, δηλονότι.] εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει. Ἐν ἄλλῳ οὕτως εὗρον· κυριακῇ α. τῶν ἁγίων πάντων. εὐαγγέλιον κατὰ ματθαῖον. κεφάλαιον. ϛγ. εἶπεν ὁ κύριος, πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ἕως τοῦ· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. [v. 39.] καὶ τότε ὕπαγε εἰς κεφάλαιον ρϛ. [XIX, 27.] καὶ λέγε· τότε ἀποκριθεὶς ὁ πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμεν. Τέλος· πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

28. φοβηθῆτε] φοβεῖσθε. Illud ex v. 31.
ἀποκτεινόντων] ἀποκτενόντων. Temere hoc in aliis etiam ſcriptoribus correctum ex vulgaribus lexicis contra Codd. Praeſens enim huius verbi varias formas habet.
ψυχὴν καὶ] τὴν ψυχὴν καὶ τό. A.
29. ἐπὶ τὴν γῆν] εἰς (τὴν) παγίδα. E. v. P. et Amos III, 5. Παγας, quod alii coniiciunt, habet in re alia Chryſoſt. VIII, 215. b. 241. fin.

ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ
ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν
οὐρανοῖς.

33. ὅςις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀν-
θρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν Ὑπέρβα τῶν
τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. [Ὑπέρβα.] ἁγίων πάν-
των.

34. μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ ϛΕ. ε.
τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ
μάχαιραν.

35. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πα-
τρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς
αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐ-
τῆς.

36. καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ. Ὑπέρβα τῆς
[Ὑπέρβα.] παρασκευῆς.

ΛΘ. 37. [Ἄρξου. Ἀρχή.] ὁ φιλῶν πατέρα ἢ μητέρα ϛϛ. ε.
ὑπὲρ ἐμὲ, οὐκ ἔςι μου ἄξιος· καὶ ὁ φιλῶν Ἄρξου τῶν
υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔςι μου ἄξιος. ἁγίων πάν-
των.

38. καὶ ὃς οὐ λαμβάνει τὸν ςαυρὸν αὐτοῦ, καὶ
ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔςι μου ἄξιος.
[Ὑπέρβα.] Ὑπέρβα τῶν ἁγίων πάν-

39. ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· ϛΖ. γ.
καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν των ἐν κεφα-
ἐμοῦ, εὑρήσει αὐτήν. λαίῳ ϙθ. ἀποκριθεὶς δὲ ὁ πέτρος.

X, 37. ΛΘ. σαββάτῳ ζ. καὶ σαββάτῳ πρὸ τῆς ὑψώσεως καὶ εἰς σχῆμα μοναχοῦ· καὶ εἰς τὸν ἅγιον ςέφανον τὸν νέον καὶ εἰς τὸν ἅγιον κορνήλιον· εἶπεν ὁ κύριος· ὁ φιλῶν πατέρα.

32. ἔμπροσθεν τοῦ] ἐνώπιον τοῦ. E. v. Euth. II, 458.

36. οἰκιακοὶ] v. verſ. 25.

ϞΗ. α. ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ 40.
δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.

ϞΘ. ι. ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, 41.
μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος
δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λή-
ψεται.

Ρ. γ. καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων 42.
ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ,
Ἄρξου τῆς παρασκευῆς. ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν
αὐτοῦ.

ΡΑ. ι. [Ἄρξου.] Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς XI, 1.
διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ,
μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν
ἐν ταῖς πόλεσιν αὐτῶν. [Τέλος.]

Τέλος τῆς παρασκευῆς καὶ τοῦ ζ. σαββάτου καὶ τοῦ πρὸ τῆς ὑψώσεως καὶ τοῦ σχήματος.

Κ. περὶ τῶν ἀποσταλέντων παρὰ ἰωάννου.

ΡΒ. ι. [Ἀρχή.] ὁ δὲ ἰωάννης ἀκούσας ἐν τῷ δεσμω- 2. M.
τηρίῳ τὰ ἔργα τοῦ χριστοῦ, πέμψας δύο τῶν
μαθητῶν αὐτοῦ,
εἶπεν αὐτῷ· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον 3.
προσδοκῶμεν;
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς· πο- 4.
ρευθέντες ἀπαγγείλατε ἰωάννῃ, ἃ ἀκούετε
καὶ βλέπετε·

τυφλοὶ

XI, 2. M. τῇ β. τῆς δ. [ἐν ἄλλῳ· τῇ δ. τῆς γ.] ἑβδ. καὶ φεβρουαρίου κδ. εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, εἰς τὴν λειτουργίαν· τ. κ. ε. ἀκούσας [ὁ] ἰωάννης ἐν τῷ δεσμωτηρίῳ.

XI, 2. δύο] διά. E. v. Wetst. P. δύο diserte Chrysost. VII, 408. al. Cyrill. V, a. 101. Sed alia ibi mutat.

5. τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦ-
σι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούου-
σι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελί-
ζονται.
6. καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν
ἐμοί.
7. τούτων δὲ πορευομένων, ἤρξατο ὁ ἰησοῦς λέ-
γειν τοῖς ὄχλοις περὶ ἰωάννου· τί ἐξήλθετε
εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ
ἀνέμου σαλευόμενον;
8. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μα-
λακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ τὰ μα-
λακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν * βασι-
λείων εἰσίν.
9. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ, λέ-
γω ὑμῖν, καὶ περισσότερον προφήτου.
10. οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· ἰδοὺ, ἐγὼ ΡΓ. β.
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου
σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπρο-
σθέν σου.
11. ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς ΡΔ. ι.
γυναικῶν μείζων ἰωάννου τοῦ βαπτιστοῦ· ὁ δὲ
μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν,
μείζων αὐτοῦ ἐστιν.

ἀπὸ

8. βασιλέων] D. βασιλειῶν t. βασιλείων, ab τὰ βασί-
λεια. v. Luc. 7, 25. A. Eodem modo Codd. prae-
stantiores Ps. 104, 30. exhibent βασιλείων. Vocabu-
lum οἶκος interpreti latino et aliis fraudi fuit.

ΡΕ. ι. ἀπὸ δὲ τῶν ἡμερῶν ἰωάννου τοῦ βαπτιστοῦ 12.
ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται,
καὶ βιασαὶ ἁρπάζουσιν αὐτήν.
πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως 13.
ἰωάννου προεφήτευσαν.
ΡϚ. ι. καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν ἠλίας ὁ 14.
μέλλων ἔρχεσθαι.
ΡΖ. ι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. [Τέλος.] 15.
Τέλος τῆς β. καὶ τοῦ ἁγίου καὶ ἐν τισι τῆς δ. τῆς γ. ἑβδ. [Ἀρχή.] τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; 16. ΜΑ.
ὁμοία ἐστὶ * παιδίοις ἐν ἀγοραῖς καθημένοις,
καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν,
καὶ λέγουσιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρ- 17.
χήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκό-
ψασθε.
ἦλθε γὰρ ἰωάννης μήτε ἐσθίων μήτε πίνων· 18.
καὶ λέγουσι· δαιμόνιον ἔχει.
ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πί- 19.
νων· καὶ λέγουσιν· ἰδοὺ, ἄνθρωπος φάγος καὶ
οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.
καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐ-
τῆς. [Τέλος.]
ΡΗ. ι. τότε [Ἀρχή.] ἤρξατο ὀνειδίζειν τὰς πόλεις, 20. ΜΒ.
ἐν

XI, 16. ΜΑ. τῇ γ. τῆς δ. ἑβδ. [ἐν ἄλλῳ, τῇ ε. τῆς γ.] ε. ὁ κ. τίνι ὁμοιώσω τὴν γενεάν.

ἐκείνῳ XI, 20. ΜΒ. τῇ δ. τῆς δ. ἑβδ. τῷ καιρῷ ἤρξατο ὁ ἰησοῦς ὀνειδίζειν.

16. παιδαρίοις] παιδίοις.
ἀγοραῖς] ἀγορᾷ. D.
19. τέκνων] ἔργων. E. v. P.

ἐν αἷς ἐγένοντο αἱ πλεῖσαι δυνάμεις αὐτοῦ,
ὅτι οὐ μετενόησαν.
21. οὐαί σοι χοραζὶν, οὐαί σοι * βηθσαϊδὰ, ὅτι
εἰ ἐν τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ
γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ
σποδῷ μετενόησαν.
22. πλὴν λέγω ὑμῖν· τύρῳ καὶ σιδῶνι ἀνεκτότε-
ρον ἔςαι ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν.
23. καὶ σὺ καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψω- ΡΘ. ι.
θεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν
σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν
σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον.
24. πλὴν λέγω ὑμῖν, ὅτι γῇ σοδόμων ἀνεκτότε-
ρον ἔςαι ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί.
25. ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν· ΡΙ. ι.
ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρα-
νοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ
σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ
νηπίοις.
26. ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμ-
προσθέν σου. [Τέλος.] Τέλος τῆς δ.
ΜΓ. 27. [Ἀρχή.] πάντα μοι παρεδόθη ὑπὸ τοῦ πα- ΡΙΑ. γ. /σι
τρὸς

XI. 27. ΜΓ. τῇ ε. τῆς δ. [ἐν ἄλλοις, τῇ ϛ. τῆς γ.] ἑβδ. καὶ εἰς σχῆμα μοναχοῦ καὶ εἰς ὁσίους· ἐν ἄλλῳ, ἰαννουαρίου κ. τοῦ ἁγίου εὐθυμίου· ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη.

21. βησαϊδὰν] βηθσαϊδά.

23. ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα] μὴ ἕως τοῦ οὐρανοῦ ὑψωθήσῃ. t. μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ; ἤ. t. ἡ ἕως τοῦ οὐρανοῦ ὑψώθης. E. v. P.
καταβιβασθήσῃ] καταβήσῃ. E.

τρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ
ΡΙΒ. γ. μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώ-
σκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς
ἀποκαλύψαι.

ΡΙΓ. ι. δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πε- 28.
φορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.
ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε 29.
ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ
καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυ-
χαῖς ὑμῶν.
ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου 30.
ἐλαφρόν ἐστιν. [Τέλος.]

Ἀπὸ τοῦ, δεῦτε, ἕως τοῦ, ἐλαφρόν ἐστι, πρόσκειται ἔν τισι μετὰ τὸ λϛ. κεφ. μου ἄξιος. Τέλος πάντων.

ΡΙΔ. β. [Ἀρχή.] Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ XII, 1.
ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ ΜΔ.
μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλ-
λειν στάχυας καὶ ἐσθίειν.
οἱ δὲ φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ· ἰδοὺ, οἱ 2.
μαθηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν
σαββάτῳ.
ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε τί ἐποίησε 3.
δαυὶδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐ-
τοῦ;
πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς 4.
ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν
ἦν

XII, 1. ΜΔ. τῇ παρασκευῇ τῆς δ. [ἐν ἄλλῳ, τῇ β. τῆς δ.] ἑβδ. καὶ τῇ κγ. ἰανουαρίου, τοῦ ἁγίου κλήμεντος· τ. κ. ἐ. ἐπορεύθη [ἐπορεύετο] ὁ ἰησοῦς τοῖς σάββασι.

XII, 3. ἐπείνασεν αὐτὸς] ἐπείνασε. Α.

ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ
μὴ τοῖς ἱερεῦσι μόνοις;

5. ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάβ- ΡΙΕ. ϛ.
βασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βε-
βηλοῦσι, καὶ ἀναίτιοί εἰσι;

6. λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ * μεῖζόν ἐστιν
ὧδε.

7. εἰ δὲ ἐγνώκειτε τί ἐστιν· ἔλεον θέλω καὶ οὐ
θυσίαν· οὐκ ἂν κατεδικάσατε τοὺς ἀναι-
τίους.

8. κύριος γάρ ἐστι * τοῦ σαββάτου ὁ υἱὸς τοῦ
ἀνθρώπου. [Τέλος.] Τέλος τῆς ϛ. καὶ τοῦ ἁγίου.

ΚΑ. περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.

ΜΕ. 9. καὶ μεταβὰς ἐκεῖθεν, [Ἀρχή.] ἦλθεν εἰς τὴν ΡΙΓ. β.
συναγωγὴν αὐτῶν.

10. καὶ ἰδού, ἄνθρωπος ἦν τὴν χεῖρα ἔχων ξη-
ράν· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· εἰ
ἔξεστι τοῖς σάββασι θεραπεύειν; ἵνα κατη-
γορήσωσιν αὐτοῦ.

11. ὁ δὲ εἶπεν αὐτοῖς· τίς ἔσται ἐξ ὑμῶν ἄνθρω-
πος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ
τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρα-
τήσει αὐτὸ καὶ ἐγερεῖ;

πόσῳ

XII, 9. ΜΕ. τῇ β. τῆς ϛ. ἑβδ. τ. κ. ε. ἦλθεν ὁ ἰησοῦς εἰς τὴν συναγωγήν.

6. μείζων] μεῖζον.

8. καὶ τοῦ σαββ.] καὶ —.

10. ἄνθρωπος ἦν] ἦν ἄνθρωπος ἐκεῖ ἢ ἦν ἐκεῖ ἄνθρωπος ἢ ἄνθρωπος ἦν ἐκεῖ. Ε.

11. τίς ἔσται] τίς ἐστιν. Ε.

πόσῳ ὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε 12.
ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν.

τότε λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά 13.
σου, καὶ ἐξέτεινε· καὶ * ἀπεκατεστάθη ὑγιὴς,
Τέλος τῆς β. τῆς ε. καὶ ἐν ὡς ἡ ἄλλη. [Τέλος.]
ΡΙΖ. δ. οἱ δὲ Φαρισαῖοι [Ἀρχή.] συμβούλιον ἔλαβον 14. MΣ.
ἄλλῳ τῆς β. τῆς δ. κατ᾽ αὐτοῦ, ἐξελθόντες, ὅπως αὐτὸν ἀπολέ-
σωσιν.

ΡΙΗ. ι. ὁ δὲ ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν· καὶ 15. MΣ.
[Ἀρχή.] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ,
καὶ ἐθεράπευσεν αὐτοὺς πάντας.

καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐ- 16.
*Υπέρβα τῆς γ. τὸν ποιήσωσιν. [Ὑπέρβα.]

ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ ἠσαΐου τοῦ προ- 17.
φήτου, λέγοντος·

ἰδοὺ, ὁ παῖς μου, ὃν ᾑρέτισα· ὁ ἀγαπητός 18.
μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ
πνεῦμά μου ἐπ᾽ αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνε-
σιν ἀπαγγελεῖ.

οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις 19.
ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ 20.
λῖνον τυφόμενον οὐ σβέσει· ἕως ἂν ἐκβάλῃ
εἰς νῖκος τὴν κρίσιν.

καὶ

XII, 14. MΣ. τῇ γ. τῆς ε. ἑβδ. τ. κ. ε. συμβούλιον ἐποίησαν οἱ Φαρισαῖοι κατὰ τοῦ ἰησοῦ, ὅπως.

XII, 15. MΣ. σαββάτῳ μετὰ τὴν χριστοῦ γέννησιν· τ. κ. ε. ἠκολούθησαν τῷ ἰησοῦ ὄχλοι.

12. ὖν] + μᾶλλον. E.

13. ἀποκατεστάθη] ἀπεκατεστάθη. A.

21. καὶ * τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι. [Τέ-ΡΙΘ. ι.
λος.] Τέλος τοῦ σαββάτου.

ΚΒ. περὶ τοῦ δαιμονιζομένου κωφοῦ καὶ τυφλοῦ.

ΜΞ. 22. [Ἄρξου.] τότε [Ἀρχή.] προσηνέχθη αὐτῷ Ἄρξου τῆς γ.
δαιμονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ ἐθε-
ράπευσεν αὐτὸν, ὥςε τὸν τυφλὸν καὶ κωφὸν
καὶ λαλεῖν καὶ βλέπειν.

23. καὶ ἐξίςαντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· ΡΚ. ζ.
μήτι οὗτός ἐςιν ὁ υἱὸς δαυίδ;

24. οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον· οὗτος οὐκ ΡΚΑ. β.
ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ βεελζε-
βοὺλ ἄρχοντι τῶν δαιμονίων.

25. εἰδὼς δὲ ὁ ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν ΡΚΒ. β.
αὐτοῖς· πᾶσα βασιλεία μερισθεῖσα καθ᾽ ἑαυ-
τῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία με-
μερισθεῖσα καθ᾽ ἑαυτῆς, οὐ ςαθήσεται.

26. καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει,
ἐφ᾽ ἑαυτὸν ἐμερίσθη· πῶς οὖν ςαθήσεται ἡ
βασιλεία αὐτοῦ;

27. καὶ εἰ ἐγὼ ἐν βεελζεβοὺλ ἐκβάλλω τὰ δαι-
μόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ
τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.

28. εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ
δαι-

XII, 22. ΜΞ. τῇ γ. τῆς δ. ἑβδ. ἐν τισι· τ. κ. ἐ. προσή-
χθη [προσηνέχθη] τῷ ἰησοῦ δαιμονιζόμενος.
21. καὶ ἐν τῷ] ἐν —.
28. ἐγὼ ἐν πνεύματι θεοῦ] ἐν πνεύματι θεοῦ ἐγώ. A.
ἐγὼ —. E. Chryfoft. hunc locum data opera inter-
pretans ἐγὼ in eadem pagina omittit et fervat. v.
VII, 446. d. e. Quid ergo ex Chryfoftomo effici-
tur? Nihil.

δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία
τοῦ θεοῦ.

ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν 29.
τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπά-
σαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ
Τέλος ὥτισι τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει; [Τέλος.]
τῆς γ. τῆς δ. [Ἀρχή.] ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ 30. ΜΖ.
Τέλος τῆς γ. ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. [Τέλος.]

διὰ τοῦτο λέγω ὑμῖν· πᾶσα ἁμαρτία καὶ
ΡΚΓ. β. βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ 31.
δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθή-
σεται τοῖς ἀνθρώποις.

καὶ ὃς * ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ
ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ 32.
κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφε-
θήσεται αὐτῷ, οὔτε ἐν * τῷ νῦν αἰῶνι, οὔτε
ἐν τῷ μέλλοντι.

ΡΚΔ. ι. ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρ-
πὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σα- 33.
πρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ
τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ 34.
λαλεῖν, πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ περισσεύ-
ματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

ὁ

XII, 30. ΜΖ. σαββάτῳ η. ἑ. ὁ κ. ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι.

29. διαρπάσει] διαρπάσῃ. E. v. Euth. 124.
32. καὶ ὃς ἂν] καὶ ὃς ἐάν.
ἐν τούτῳ τῷ αἰῶνι] ἐν τῷ νῦν αἰῶνι.

35. ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ΡΚΕ. ι.
* ἐκβάλλει * ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος
ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

36. λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν ΡΚϚ. ι.
λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐ-
τοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

37. ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ
τῶν λόγων σου καταδικασθήσῃ. [Τέλος.] Τέλος τοῦ σαββάτου.

ΚΓ. περὶ τῶν αἰτούντων σημεῖον.

38. τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ ΡΚΖ. ι.
ΜΗ. Φαρισαίων, λέγοντες· [Ἀρχή.] διδάσκαλε,
θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.

39. ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· γενεὰ πονηρὰ ΡΚΗ. ι.
καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον
οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
τοῦ προφήτου·

40. ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους
τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ
υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς
τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

41. ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει με-
τὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν
αὐτήν·

XII, 38. ΜΗ. τῇ δ. τῆς ε. ἑβδ. τ. κ. ἑ. προσῆλθον τῷ Ἰησοῦ [ἐν ἄλλῳ· τινὲς τῶν γραμματέων καὶ Φαρισαίων.] γραμματεῖς καὶ Φαρισαῖοι, λέγοντες αὐτῷ· διδάσκαλε. Ἐν ἄλλαις τῇ δ. τῆς δ. ἑβδ. τ. κ. ἑ. ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ Φαρισαίων.

35. θησαυροῦ τῆς καρδίας] τῆς καρδίας —.
τὰ ἀγαθὰ] τὰ —.

37. καταδικασθήσῃ] κατακριθήσῃ. E.

αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ·
καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.
βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει 42.
μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ
αὐτήν· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς
ἀκοῦσαι τὴν σοφίαν * σολομῶνος, καὶ ἰδοῦ,
πλεῖον * σολομῶνος ὧδε.
ΡΚΘ. ι. ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ 43.
τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων,
ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει.
τότε λέγει· ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν 44.
ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα,
σεσαρωμένον καὶ κεκοσμημένον.
τότε πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυ- 45.
τοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυ-
τοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνε-
ται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χεί-
ρονα τῶν πρώτων· οὕτως ἔσται καὶ τῇ γενεᾷ
Τέλος τῆς δ. ταύτῃ τῇ πονηρᾷ. [Τέλος.]
ΡΛ. β. ἔτι δὲ αὐτοῦ [Ἀρχή.] λαλοῦντος τοῖς ὄχλοις, 46. ΜΘ.
ἰδοὺ, ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκει-
σαν ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι.
εἶπε δέ τις αὐτῷ· ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ 47.
ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι λα-
λῆσαι.

ὁ

XII, 46. ΜΘ. τῇ ε. τῆς ε. ἑβδ. τ. κ. ι. λαλοῦντος τοῦ Ἰησοῦ τοῖς ὄχλοις, ἰδοὺ.

42. σολομῶντος] σολομῶνος. Ita bis.

47. σοι λαλῆσαι] σε λαλῆσαι t σε ἰδεῖν. E. Chryſ. VII, 467.

48. ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ εἰπόντι αὐτῷ· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;

49. καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· ἰδοὺ, ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου.

50. ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστίν. [Τέλος.] Τέλος ἐν τισι τῆς δ. τῆς δ.

XIII. 1. Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν. ΡΛΑ. β.

ΚΔ. περὶ τῶν παραβολῶν.

2. καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει.

3. καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς,

N. [Τέλος.] λέγων· ἰδοὺ, [Ἀρχή.] ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν, Τέλος τῆς ε.

4. καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ

XIII, 3. N. τῇ ϛ. τῆς ε. [ἐν ἄλλοις, τῇ ε. τῆς δ.] ἑβδ. ε. ὁ κ. τὴν παραβολὴν ταύτην· [ἰδοὺ,] ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν [σπεῖραι.]

467. c. d. haec contrahit et in fine exhibet ζητοῦντες. v. ibid. 309. c. Lucam et Matthaeum coniungit et haec ita refert, ac si *unus* evangelista hoc narrarit Cyrill. V, c. 185. a. b.

XIII. 3. σπείρειν] σπεῖραι. E. Sic et Chrys. VII, 471. b. sed antea vulgatum. v. ibid. XII, 24.

ρὰ τὴν ὁδόν· καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατ-
έφαγεν αὐτά·
ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ 5.
εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ
τὸ μὴ ἔχειν βάθος γῆς·
ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ 6.
τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.
ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέ- 7.
βησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά.
ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν, καὶ 8.
ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα,
ὃ δὲ τριάκοντα.
Τέλος τῆς τ. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. [Τέλος.] 9.
καὶ [Ἀρχή.] προσελθόντες οἱ μαθηταὶ, εἶπον 10. ΝΑ.
αὐτῷ· διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;
ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὅτι ὑμῖν δέδο- 11.
ται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν
οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.
ΣΑΒ. ε. ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισ- 12.
σευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει,
Τέλος ἔν τι- ἀρθήσεται ἀπ' αὐτοῦ. [Τέλος.]
σι τῆς τ.

διὰ

XIII, 10. ΝΑ. τῇ β. τῆς τ. ἑβδ. τ. κ. ε. προσελθόντες τῷ Ἰησοῦ οἱ μαθηταὶ εἶπον αὐτῷ.

4. πετεινὰ] + τοῦ οὐρανοῦ. E. Orig. v. P.

5. βάθος] βάρος. E. v. Euth. 124.

11. τῶν οὐρανῶν] τοῦ Θεοῦ t —. E. Vulgatum etiam Cyrill. I, a. 225. ibid. g. 86. ſine varietate ex Luca. et 322. ex Matthaeo, ſed τούτοις, loco ἐκείνοις.

13. διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι ΡΛΓ. α.
βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ
ἀκούουσιν, οὐδὲ συνιοῦσι.
14. καὶ ἀναπληροῦται * αὐτοῖς ἡ προφητεία
ἡσαΐου, ἡ λέγουσα· ἀκοῇ ἀκούσετε, καὶ οὐ
μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ
μὴ ἴδητε.
15. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου,
καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσι
τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ
τῇ καρδίᾳ * συνῶσι καὶ ἐπιστρέψωσι, καὶ
* ἰάσομαι αὐτούς.
16. ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπου- ΡΛΔ. ι.
σι· καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει.
17. ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται
καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε,
καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ
οὐκ ἤκουσαν.
18. ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπεί-
ροντος.
19. παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, ΡΛΕ. β.
καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρ-

πάζει

14. ἐπ' αὐτοῖς] ἐπ' —. Sed Chryſ. VII, 477. a. ἐπ'. VI, 71. d. Ioanni tribuit.

15. συνιῶσι] συνῶσι.

ibid. ἰάσωμαι] D. ἰάσομαι. Ita et in aliis locis, ubi haec laudantur, variant Codd. Graeci. ni ita reperiſſent, poſt καὶ non ita ſcripturi fuiſſent.

πάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ·
οὗτός ἐςιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς.
ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐςιν ὁ 20.
τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς
λαμβάνων αὐτόν.
οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαι- 21.
ρός ἐςι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ
τὸν λόγον, εὐθὺς σκανδαλίζεται.
ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς, οὗτός ἐςιν ὁ 22.
τὸν λόγον ἀκούων· καὶ ἡ μέριμνα τοῦ αἰῶνος
τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνί-
γει τὸν λόγον, καὶ ἄκαρπος γίνεται.
ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός 23.
ἐςιν ὁ τὸν λόγον ἀκούων καὶ συνιών· ὃς δὴ
καρποφορεῖ, καὶ ποιεῖ, ὃ μὲν ἑκατὸν, ὃ δὲ
Τέλος τῆς β. Πρόσκειται ἑξήκοντα, ὃ δὲ τριάκοντα. [Τέλος.]
ΡΑ3. ι. ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· 24.
δὲ ταῦτα λέγων ἐφώνει, ὁ ἔχων ὦτα. ['Αρχή.] ὠμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν NB.
ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ
ἀγρῷ αὐτοῦ.
ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν 25.
αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀνὰ
μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.

ὅτε

XIII, 24. NB. τῇ γ. τῆς ς. [ἐν ἄλλοις, τῇ ς. τῆς δ.] ἑβδ. ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία.

22. ἀπάτη] Latinistae apud Sabatier. *voluptas.* Iidem apud Marcum, *delectationes.* Ita interpretatur Chrysost. VII, 472. c.

25. ἔσπειρε] ἐπέσπειρε. E. Etiam in Orig. schol. MS. apud me est: τὰ δὲ ὑπὸ τῶν ἐχθρῶν ἐπισπειρόμενα. v. P.

26. ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποί-
ησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια.
27. προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου,
εἶπον αὐτῷ· κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπει-
ρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει * ζι-
ζάνια;
28. ὁ δὲ ἔφη αὐτοῖς· ἐχθρὸς ἄνθρωπος τοῦτο
ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· θέλεις οὖν
ἀπελθόντες συλλέξομεν * αὐτά;
29. ὁ δὲ ἔφη· οὔ· μήποτε συλλέγοντες τὰ ζιζά-
νια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.
30. ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ
θερισμοῦ· καὶ ἐν * καιρῷ τοῦ θερισμοῦ ἐρῶ
τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζιζάνια,
καὶ δήσατε αὐτὰ εἰς δεσμὰς πρὸς τὸ κατα-
καῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς
τὴν ἀποθήκην μου. [Τέλος.]
31. ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων·
ΝΓ. [Ἀρχή.] ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
κόκκῳ

Τέλος τῆς γ. τινὰ ἐντεῦ-
θεν ὑπερ-
βαίνουσιν,
ΡΛΖ. β.
εἰς τὸ, καὶ
προσῆλθον
ἐν κεφ. ρμ.

XIII, 31. ΝΓ. τῇ δ. τῆς ς. ἑβδ. [ἐν ἄλλοις, καὶ σαββά-
τῳ τῇ παραμονῇ τῆς χριστοῦ γεννήσεως, εἰς τὴν λει-
τουργίαν.] ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὁμοία ἐστὶν
ἡ βασιλεία.

27. σῷ ἀγρῷ] ἀγρῷ t ἀγρῷ σου. E. v. P. Euth. 129.
τὰ ζιζάνια] τὰ —. Ἔχει omittit Chryſ. VII, 480. c.

28. συλλέξωμεν] συλλέξομεν. A. In graeco ſcriptore probarem συλλέξωμεν. In N. T. renitentibus Codd. dubium.

30. τῷ καιρῷ] τῷ —.
αὐτὰ εἰς] εἰς ∸ E. Orig. III, 135. b. δήσατε δεσμὰς τὰ ζιζάνια καὶ παράδοτε αὐτὰ πυρὶ, nihil Latinitas non nullos adiuvat.

κόκκῳ συνάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπει-
ρεν ἐν τῷ ἀγρῷ αὐτοῦ.
ὃ μικρότερον μέν ἐςι πάντων τῶν σπερμάτων· 32.
ὅταν δὲ αὐξηθῇ, μεῖζον * πάντων τῶν λα-
χάνων ἐςὶ· καὶ γίνεται δένδρον, ὥςε ἐλθεῖν
Τέλος ἔν τι-σι τῆς ς. τῆς δ. τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν
τοῖς κλάδοις αὐτοῦ. [Τέλος.]
ΡΛΗ. ε. ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· [Ἀρχή.] 33. ΝΓ.
ὁμοία ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν
Τινὰ ἐντεῦ-θεν ὑπερ-βαίνουσιν λαβοῦσα γυνὴ * ἔκρυψεν εἰς ἀλεύρου σάτα
τρία, ἕως οὗ ἐζυμώθη ὅλον.
ΡΛΘ. ς. ταῦτα πάντα ἐλάλησεν. ὁ ἰησοῦς ἐν παρα- 34.
εἰς τὸ, πάλιν ὁμοία—θη-σαυρῷ. βολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς
οὐκ ἐλάλει αὐτοῖς·
ΡΜ. ι. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου 35.
λέγοντος· ἀνοίξω ἐν παραβολαῖς τὸ ςόμα
μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς
κόσμου.
τότε ἀφεὶς τοὺς ὄχλους, [Ἀρχή.] ἦλθεν εἰς τὴν 36. ΝΔ.
Τέλος τῆς δ. οἰκίαν ὁ ἰησοῦς· [Τέλος] καὶ προσῆλθον αὐτῷ
οἱ

XIII, 33. ΝΓ. τῇ β. τῆς ι. ἑβδ. ἔν τισιν· ἐ. ὁ κ. τὴν παραβολὴν ταύτην, ὁμοία.

XIII, 36. ΝΔ. τῇ ε. τῆς ς. ἑβδ. τ. κ. ἐ. ἐλθόντι τῷ ἰησοῦ εἰς [τὴν] οἰκίαν [αὐτοῦ] προσῆλθον αὐτῷ.

32. μεῖζον] + πάντων. Post priorem edit. etiam in aliis inveni. Item Birch.

33. ἐνέκρυψεν] D. ἔκρυψεν. Chryſoſt. VII, 483. b. c. Cyrill. II, a. 614. et in fine τὸ ὅλον. Sine τὸ IV, 365. b.

36. ὁ ἰησοῦς] — E. In evangeliariis dicitur omitti. Utrum

οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Φράσον ἡμῖν
τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ.
37. ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· ὁ σπείρων τὸ
καλὸν σπέρμα, ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου.
38. ὁ δὲ ἀγρὸς, ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρ-
μα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ
ζιζάνια, εἰσὶν οἱ υἱοὶ τοῦ πονηροῦ.
39. ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτὰ, ἐστιν ὁ διάβο-
λος· ὁ δὲ θερισμὸς, συντέλεια τοῦ αἰῶνός
ἐστιν· οἱ δὲ θερισταὶ, ἄγγελοί εἰσιν.
40. ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ
* καίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ
αἰῶνος τούτου.
41. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέ-
λους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασι-
λείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς
ποιοῦντας τὴν ἀνομίαν.
42. καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ
πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
τῶν ὀδόντων.

τότε

Utrum in principio, an in fine lectionis? Credo, in fine, ut in Mosq. f. qui habet οἰκίαν αὐτοῦ. Nam in principio habent, ut hic notatum est. Post meam priorem editionem iam aliquis etiam de evangeliariis incepit blaterare, quae nemo ante et post me, uti debebat, tractavit. Ignorant enim lectores, quot, quae et quoties eaedem lectiones in Evangeliariis singulis legantur. Magnum autem inter ea esse discrimen, satis iam docuit prior editio mea. Idem valet de Praxapostolis.

40. κατακαίεται] καίεται. Vulgatum, omisso τούτου. Cyrill. V, d. 81. VI, b. 329. v. Io. 15, 4.

τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ἐν 43.
τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. ὁ ἔχων ὦτα
Τέλος τῆς ε. ἀκούειν, ἀκουέτω. [Τέλος.]
καὶ ἔν τισι τῆς β. τῆς ε. πάλιν [Ἀρχή.] ὁμοία ἐςὶν ἡ βασιλεία τῶν 44. ΝΕ.
οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν
εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χα-
ρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει
πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.
πάλιν [Ἀρχή.] ὁμοία ἐςὶν ἡ βασιλεία τῶν 45. ΝΕ.
οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς
μαργαρίτας·
ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελ- 46.
θὼν πέπρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρα-
σεν αὐτόν.
Τινὰ ἐντεῦθεν ὑπερβαίνει εἰς τὸ ρμα. κεφ. πάλιν ὁμοία ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν 47.
σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ
παντὸς γένους συναγαγούσῃ·
ἣν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν 48.
αἰγιαλὸν, καὶ καθίσαντες, συνέλεξαν τὰ κα-
λὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον.
Ὑπέρβα τοῦ ἁγίου. [Ὑπέρβα.]

οὕτως

XIII, 44. ΝΕ. τῇ ϛ. τῆς ϛ. [ἐν ἄλλοις. τῇ γ. τῆς ε.] ἑβδ. ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὁμοία ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ.

XIII, 45. ΝΕ. ὀκτωβρίου γ. τοῦ ἁγίου διονυσίου τοῦ ἀρεοπαγίτου· ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὁμοία ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ.

46. ὃς εὑρὼν] εὑρὼν δὲ. E.

49. οὕτως ἔσαι ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξε-
λεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς
πονηροὺς ἐκ μέσου τῶν δικαίων,
50. καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ
πυρός· ἐκεῖ ἔσαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
τῶν ὀδόντων.
51. [Ἄρξου.] λέγει αὐτοῖς ὁ ἰησοῦς· συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ· ναὶ κύριε. Ἄρξου τοῦ ἁγίου.
52. ὁ δὲ εἶπεν αὐτοῖς· διὰ τοῦτο πᾶς γραμμα-
τεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν, ὅμοιός ἐσιν ἀνθρώπῳ οἰκοδεσπότῃ,
ὅσις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ και-
νὰ καὶ παλαιά.
53. καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ ἰησοῦς τὰς πα- ΡΜΑ. α.
ραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν.
NΣ. 54. καὶ [Ἀρχή.] ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ,
ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν.
[Τέλος.] ὥσε ἐκπλήττεσθαι αὐτούς, καὶ λέ- Τέλος τῆς σ.
γειν· πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυ- καὶ τοῦ ἁγί-
νάμεις; ου.
55. οὐχ οὗτός ἐσιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ
μήτηρ αὐτοῦ λέγεται μαριάμ, καὶ οἱ ἀδελ-
φοὶ

XIII. 54. NΣ. τῇ β. τῆς ζ. ἑβδ. τ. κ. ε. ἦλθεν ὁ ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ καὶ ἐδίδασκε τοὺς ὄχλους ἐν τῇ συναγωγῇ.

52. εἰς τὴν βασιλείαν] τῇ βασιλείᾳ t ἐν τῇ βασιλείᾳ. E. εἰς post εις facile excidit. Cyrill. IV, 316. τῇ βασιλείᾳ, sed at πλουσίῳ, loco οἰκοδεσπότῃ. Sic rursus 750. 880. I, a. 286. 614. tandem ibid. g. 292. οἰκοδεσπότῃ.

φοὶ αὐτοῦ ἰάκωβος, καὶ ἰωσῆς, καὶ σίμων,
καὶ ἰούδας;
καὶ αἱ ἀδελφαὶ αὐτοῦ ὀυχὶ πᾶσαι πρὸς ἡμᾶς 56.
ἐισι; πόθεν ὄυν τούτῳ ταῦτα πάντα;
ΡΜΒ. α. καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ ἰησοῦς ἐιπεν 57.
αὐτοῖς· ὀυκ ἔστι προφήτης ἄτιμος, ἐι μὴ ἐν
τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ ὀικίᾳ αὐτοῦ.
Τέλος τῆς β. καὶ ἐν ἄλλοις, τῆς γ. τῆς ε. καὶ τῆς παραμονῆς. καὶ ὀυκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ 58.
τὴν ἀπιστίαν αὐτῶν. [Τέλος.]

ΚΕ. περὶ ἰωάννου καὶ ἠρώδου.

ΡΜΓ. β. Ἐν ἐκείνῳ τῷ καιρῷ [Ἀρχή.] ἤκουσεν ἡρώ- XIV, 1.
δης ὁ τετράρχης τὴν ἀκοὴν ἰησοῦ, ΝΖ.
καὶ ἐιπε τοῖς παισὶν αὐτοῦ· ὅυτός ἐστιν ἰωάν- 2.
νης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νε-
κρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν
ἐν αὐτῷ.
ΡΜΔ. β. ὁ γὰρ ἡρώδης κρατήσας τὸν ἰωάννην, ἔδησεν 3.
αὐτὸν, καὶ ἔθετο ἐν φυλακῇ, διὰ ἡρωδιάδα
τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.
ἔλεγε γὰρ αὐτῷ ὁ ἰωάννης· ὀυκ ἔξεστί σοι 4.
ἔχειν αὐτήν.
καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν 5.
ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν ἔιχον.

γενε-

XIV, 1. ΝΖ. τῇ γ. τῆς ζ. [ἐν ἄλλοις, τῇ δ. τῆς ε.] ἑβδ. καὶ τῇ κθ. τοῦ αὐγούστου ἐις τὴν ἀποτομὴν τοῦ προδρόμου, ἐις τὸν ὄρθρον· τ. κ. ε. ἤκουσεν ἡρώδης ὁ τετράρχης.

XIV, 3. φιλίππου] — Ε.

6. γενεσίων δὲ ἀγομένων τοῦ ἡρώδου, ὠρχήσατο ΡΜΕ. ϛ.
ἡ θυγάτηρ τῆς ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ
ἤρεσε τῷ ἡρώδῃ·
7. ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ
ἐὰν αἰτήσηται.
8. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς,
δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν
ἰωάννου τοῦ βαπτιστοῦ.
9. καὶ ἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους
καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι.
10. καὶ πέμψας ἀπεκεφάλισε τὸν ἰωάννην ἐν
τῇ φυλακῇ.
11. καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ
ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς.
12. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν
τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· καὶ ἐλθόντες
ἀπήγγειλαν τῷ ἰησοῦ.
13. καὶ ἀκούσας ὁ ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ΡΜϚ. γ.
ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν. καὶ
ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ
πεζῇ ἀπὸ τῶν πόλεων. [Τέλος.] Τέλος τῆς γ.
ΝΗ. 14. καὶ ἐξελθὼν ὁ ἰησοῦς [Ἀρχή.] εἶδε πολὺν ὄχ- καὶ τοῦ ἁγίου.
λον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ * αὐτοῖς, καὶ ἐθε-
ράπευσε τοὺς ἀῤῥώστους αὐτῶν.

XIV, 14. ΝΗ. κυριακῇ η. τ. κ. ἑ. [ἐξελθὼν ὁ ἰησοῦς] εἶδεν [ὁ ἰησοῦς] πολὺν ὄχλον.

6. ἀγομένων] γενομένων. E. Ita tamen Chryfoft. VII, 495. e.

12. σῶμα] πτῶμα. E.

14. ὁ ἰησοῦς] v. P.
ἐπ᾽ αὐτοὺς] ἐπ᾽ αὐτοῖς. v. Euth. 141.

ΚϚ. περὶ τῶν ε. ἄρτων καὶ τῶν β. ἰχθύων.

ΡΜΖ. α. ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μα- 15.
θηταὶ αὐτοῦ, λέγοντες· ἔρημός ἐςιν ὁ τόπος,
καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς
ὄχλους, ἵνα ἀπελθόντες ἐις τὰς κώμας, ἀγο-
ράσωσιν ἑαυτοῖς βρώματα.
ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς· ου χρείαν ἔχουσιν 16.
ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.
οἱ δὲ λέγουσιν αὐτῷ· ὀυκ ἔχομεν ὧδε ἐι μὴ 17.
πέντε ἄρτους καὶ δύο ἰχθύας.
ὁ δὲ εἶπε· φέρετέ μοι αὐτοὺς ὧδε. 18.
καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ 19.
τοὺς χόρτους, * λαβὼν τοὺς πέντε ἄρτους καὶ
τοὺς δύο ἰχθύας, ἀναβλέψας ἐις τὸν ὀυρανὸν,
ἐυλόγησε· καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς
τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις.
καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ 20.
ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα
κοφίνους πλήρεις.
οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχί- 21.
λιοι, χωρὶς γυναικῶν καὶ παιδίων.
ΡΜΗ. ϛ. καὶ ἐυθέως [Ἀρχή.] ἠνάγκασεν ὁ ἰησοῦς τοὺς 22. ΝΘ.
μαθητὰς * ἐμβῆναι ἐις τὸ πλοῖον, καὶ προ-
άγειν αὐτὸν ἐις τὸ πέραν, ἕως οὗ ἀπολύσῃ
Τέλος τῆς κυριακῆς. τοὺς ὄχλους. [Τέλος.]

καὶ

XIV, 22. ΝΘ. κυριακῇ θ. τ. κ. ἰ. ἠνάγκασεν ὁ ἰησοῦς τοὺς μαθητὰς [αὐτοῦ] ἐμβῆναι.

19. καὶ λαβὼν] καὶ —.

22. ὁ ἰησοῦς] — Ε.
μαθητὰς αὐτοῦ] αὐτοῦ —.

23. καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ΡΜΘ. β.
ὄρος κατ' ἰδίαν προσεύξασθαι.

ΚΖ. περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ.

24. τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, ΡΝ. δ.
βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ
ἐναντίος ὁ ἄνεμος.

25. τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς
αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσ-
σης.

26. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θά-
λασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγον-
τες, ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου
ἔκραξαν.

27. εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων·
θαρσεῖτε· ἐγώ εἰμι· μὴ φοβεῖσθε.

28. ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος, εἶπε· κύριε, εἰ ΡΝΑ. ι.
σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ
ὕδατα.

29. ὁ δὲ εἶπεν· ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ
πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα
ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.

30. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ
ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων·
κύριε, σῶσόν με.

εὐθέως

25. ἀπῆλθε] ἦλθε. E. v. P. Suis verbis refert Cyrill. V, a. 308.
ὁ Ἰησοῦς] — E.
28. αὐτῷ ὁ] αὐτῷ — D.

ἐυθέως δὲ ὁ ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπε- 31.
λάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ· ὀλιγόπιστε,
ἐις τί ἐδίστασας;

ΡΝΒ. ϛ. καὶ ἐμβάντων αὐτῶν ἐις τὸ πλοῖον, ἐκόπασεν 32.
ὁ ἄνεμος.

οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν 33.
αὐτῷ, λέγοντες· ἀληθῶς θεοῦ ὑιὸς ἐι.

καὶ διαπεράσαντες, ἦλθον ἐις τὴν γῆν γεννη- 34.
Τέλος τῆς κυριακῆς. σαρέτ. [Τέλος.]

ΡΝΓ. β. καὶ [Ἀρχή.] ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ 35. Ξ.
τόπου ἐκείνου, ἀπέστειλαν ἐις ὅλην τὴν περί-
χωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάν-
τας τοὺς κακῶς ἔχοντας·

καὶ παρεκάλουν αὐτὸν, ἵνα μόνον ἅψωνται 36.
τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι
ἥψαντο, διεσώθησαν.

ΚΗ. περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ.

ΡΝΔ. ϛ. Τότε προσέρχονται τῷ ἰησοῦ οἱ ἀπὸ ἱεροσο- XV, 1.
λύμων γραμματεῖς καὶ Φαρισαῖοι, λέγον-
τες·

διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν πα- 2.
ω | ράδοσιν τῶν πρεσβυτέρων; ου γὰρ νίπτονται
τὰς χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν.

ὁ δὲ ἀποκριθεὶς, ἐιπεν αὐτοῖς· διατὶ καὶ 3.
ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ
διὰ τὴν παράδοσιν ὑμῶν;

ὁ

XIV, 35. Ξ. τῇ δ. τῆς ζ. [ἐν ἄλλοις· τῇ ε. τῆς ϛ.] ἑβδ. τ. κ. ἑ. ἐπιγνόντες τὸν ἰησοῦν οἱ ἄνδρες [τοῦ τόπου ἐκείνου.] τῆς γῆς γεννησαρὲτ, ἀπέστειλαν ἐις ὅλην.

4. ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων· τίμα τὸν πατέρα * καὶ τὴν μητέρα· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω.

5. ὑμεῖς δὲ λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ.

6. καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.

7. ὑποκριταὶ, καλῶς προεφήτευσε περὶ ὑμῶν ἡσαΐας, λέγων·

8. ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ·

9. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων.

10. καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε.

11. οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. [Τέλος.] Τέλος τῆς δ.

τότε

XV, 4. ἐνετείλατο] εἶπε. E. Versu 6. est ἐντολήν. Cyrill. I, a. 238. 573. plura alia mutat.
πατέρα σου] σου —.
8. ἐγγίζει μοι] — E.
τῷ στόματι αὐτῶν, καὶ] — E. Nullus bonus Cod. hic aliquid omittit. Diserte explicat Euth.

ΡΝΕ. ι. τότε [Ἀρχή.] προσελθόντες ὁ μαθηταὶ αὐ- 12. ΞΑ.
τοῦ, εἶπον αὐτῷ· οἶδας, ὅτι οἱ Φαρισαῖοι
ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν;
ὁ δὲ ἀποκριθεὶς, εἶπε· πᾶσα φυτεία, ἣν οὐκ 13.
ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζω-
θήσεται.
ΡΝΣ. ι. ἄφετε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· 14.
τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς
βόθυνον πεσοῦνται.
ΡΝΖ. ι. ἀποκριθεὶς δὲ ὁ πέτρος, εἶπεν αὐτῷ· φρά- 15.
σον ἡμῖν τὴν παραβολὴν ταύτην.
ὁ δὲ ἰησοῦς εἶπεν· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί 16.
ἐστε;
οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς 17.
τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφε-
δρῶνα ἐκβάλλεται;
τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς 18.
καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄν-
θρωπον.
ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ 19.
πονηροὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαὶ,
ψευδομαρτυρίαι, βλασφημίαι.
ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ 20.
δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄν-
θρωπον.

καὶ

XV, 12. ΞΑ. τῇ ε. τῆς ζ. ἑβδ. τ. κ. ἐ. προσῆλθον τῷ ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ καὶ εἶπον αὐτῷ.

14. πεσοῦνται] ἐμπεσοῦνται. B.

21. καὶ ἐξελθὼν ἐκεῖθεν ὁ ἰησοῦς, ἀνεχώρησεν
ΞΒ. [Ἀρχή.] εἰς τὰ μέρη τύρου καὶ σιδῶνος.
[Τέλος.] Τέλος τῆς ε.

καὶ ἐν ἄλλοις, τῆς ε. τῆς ε.

ΚΘ. περὶ τῆς χαναναίας.

22. καὶ ἰδοὺ, γυνὴ χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν, αὐτῷ λέγουσα· ἐλέησόν με κύριε, υἱὲ δαυὶδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

23. ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν.

24. ὁ δὲ ἀποκριθεὶς, εἶπεν· οὐκ ἀπεστάλην εἰ μὴ ΡΝΗ. ε.
εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ.

25. ἡ δὲ ἐλθοῦσα * προσεκύνησεν αὐτῷ, λέγουσα· ΡΝΘ. ς.
κύριε, βοήθει μοι.

26. ὁ δὲ ἀποκριθεὶς, εἶπεν· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

ἡ

XV, 21. ΞΒ. κυριακῇ ιζ. ἤτοι τῆς χαναναίας. τ. κ. ἐ. [ἦλθεν] εισῆλθεν ὁ ἰησοῦς εἰς τὰ μέρη τύρου καὶ σιδῶνος. Χρὴ γινώσκειν, ὅτι τὸ ἐυαγγέλιον τοῦτο τῆς χαναναίας, διὰ τὸ πολλάκις συμβαίνειν γίνεσθαι τὸ πάσχα ἔξω, ὧδε μὲν οὐ χωρεῖ ἀναγινώσκεσθαι εἰς τὰ σαββατοκυριακὰ τοῦ ματθαίου, ὅτι οὐδέποτε ἀνεγνώσθησαν ιζ. κυριακαί. ἀναγινώσκεται δὲ εἰς τὸν λουκᾶν, κυριακῇ πρὸ τοῦ Φαρισαίου, [Luc. 18, 10.] εἴπερ ἄρα λείψει ὁ λουκᾶς, διὰ τὸ μηκύνεσθαι τὸ πάσχα.

25. προσεκύνει] προσεκύνησεν. v. P.

ἡ δὲ εἶπε· ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια 27.
ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ
τῆς τραπέζης τῶν κυρίων αὐτῶν.
τότε ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτῇ· ὦ 28.
γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς
θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς
Τέλος τῆς κυριακῆς. ὥρας ἐκείνης. [Τέλος.]

Λ. περὶ τῶν θεραπευθέντων ὄχλων.

καὶ μεταβὰς ἐκεῖθεν ὁ ἰησοῦς, [Ἀρχή.] ἦλ- 29. ΞΓ.
θε παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας· καὶ
ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ.
καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ, ἔχοντες 30.
μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κωφοὺς, κυλ-
λοὺς, καὶ ἑτέρους πολλούς· καὶ ἔῤῥιψαν αὐ-
τοὺς παρὰ τοὺς πόδας τοῦ ἰησοῦ· καὶ ἐθερά-
πευσεν αὐτούς.
ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας, κω- 31.
φοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς πε-
ριπατοῦντας, καὶ τυφλοὺς βλέποντας· καὶ
Τέλος τῆς ϛ. ἐδόξασαν τὸν θεὸν ἰσραήλ. [Τέλος.]

ΛΑ. περὶ τῶν ἑπτὰ ἄρτων.

ΡΞ. ϛ. [Ἀρχή.] ὁ δὲ ἰησοῦς προσκαλεσάμενος τοὺς ΞΔ. 32.
μαθητὰς αὐτοῦ, εἶπε· σπλαγχνίζομαι ἐπὶ
τὸν

XV, 29. ΞΓ. τῇ ϛ. τῆς ζ. [ἐν ἄλλαις, τῇ ϛ. τῆς ε.] ἑβδ. τ. κ. ἰ. [μεταβὰς ἐκεῖθεν ὁ ἰησοῦς.] ἦλθεν [ὁ ἰησοῦς] παρὰ τὴν θάλασσαν.

XV, 32. ΞΔ. σαββάτῳ θ. τ. κ. ἰ. προσκαλεσάμενος ὁ ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ.

30. τοῦ ἰησοῦ] αὐτοῦ. E.

31. θαυμάσαι, βλέποντας κωφοὺς] θαυμάσαι βλέποντας, κωφούς. v. P.

τὸν ὄχλον, ὅτι ἤδη * ἡμέραι τρεῖς προσμένου-
σί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπο-
λῦσαι αὐτοὺς * νήστις οὐ θέλω, μήποτε ἐκλυ-
θῶσιν ἐν τῇ ὁδῷ.
33. καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πό-
θεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορ-
τάσαι ὄχλον τοσοῦτον;
34. καὶ λέγει αὐτοῖς ὁ ἰησοῦς· πόσους ἄρτους
ἔχετε; οἱ δὲ εἶπον· ἑπτὰ, καὶ ὀλίγα ἰχθύ-
δια.
35. καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν
γῆν.
36. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς
ἰχθύας, εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς
μαθηταῖς αὐτοῦ· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ.
37. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ
ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ
σπυρίδας πλήρεις.
38. οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες
χωρὶς γυναικῶν καὶ παιδίων.
39. καὶ ἀπολύσας τοὺς ὄχλους, * ἀνέβη εἰς τὸ
πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια μαγδαλά.
[Τέλος.] Τέλος τοῦ σαββάτου.
Καὶ

32. ἡμέρας] ἡμέραι.
νήστεις] νήστις t νῆστις. A. v. P. b. l. et ad Marc. 8, 3.
39. ἐνέβη] ἀνέβη.
μαγδαλά] μαγαδάν. E. Nullus bonus Cod. hic aberrat, praeter Wetst. D. et Vat. 1205. qui non tam, nobiles, quam noti sunt critico.

ΡΞΑ. δ. Καὶ [Ἀρχή.] προσελθόντες ὁι Φαρισαῖοι καὶ XVI, 1.
σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν ΞΕ.
σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.
ΡΞΒ. ι. ὁ δὲ ἀποκριθεὶς, ἔιπεν αὐτοῖς· ὀψίας γενο- 2.
μένης λέγετε, ἐυδία· πυῤῥάζει γὰρ ὁ οὐρα-
νός.

καὶ

XVI, 1. ΞΕ. τῇ β. τῆς η. [ἐν ἄλλοις, τῆς ϛ.] ἑβδ. τ. κ. ἑ. προσελθόντες τῷ ἰησοῦ Φαρισαῖοι καὶ σαδδουκαῖοι. Ἔν τισι καὶ ὄυτως ἔυρον. Τ. κ. ἑ., ἕως, ὀυ δύνασθε. (v. 3.) ἑξῆς· ἀμὴν λέγω ὑμῖν. (κατὰ λουκᾶν κεφ. κα.) ἕως, γυναῖκα χήραν. καὶ μετὰ ταῦτα· (κατὰ ἰωάννην κεφ. νγ.) λέγουσιν αὐτῷ ὁι ἰουδαῖοι· τί ὄυν, ἕως, διδοὺς τῷ κόσμῳ. Ἐπιγράφεται δὲ, ἐις ἀνομβρίαν.

XVI, 2. ὀψίας — 3. ὀυ δύνασθε] — E. v. P. Hieronymus, Hieronymus, inquam, criticus acutus, diligens et fide dignus, dicit, haec in plerisque Codd. abesse. Quaestio est, quod habuerit ad manus, deinde quales, graecos an latinos, perpetui textus, an evangeliaria? Nonne vero etiam divinum Originem suum, qui ei, ut equus Troianus, (Virgil. Aen. II, 15.), instar montis Sina et Sion est, excusare voluit, quod ea non est interpretatus? Addit enim: *sensusque manifestus est.* Quis vero de verbis temere insertis quaerit, sintne dilucida, an obscura? Immo in eiusmodi locis Hieronymus ipse alibi addit: *ergo radenda, ergo delenda.* Lectionaria pleraque hunc totum locum omittunt, ut ex priore edit. mea discitur. At enim vero habet praeter Mosq. ω. cui non multum tribuo, antiquissimum Aug. 4. fol. 260. cum indice, ἐις ἀνομβρίαν. In aliis evangeliariis ἐις ἀνομβρίαν notatur Marci κεφ. να. Ergo alius hanc, alius aliam lectionem scripsit. Griesb. comment. crit. p. 134. ita habet: criticae artis studiosos admonitos *Ipse* (Ἀυτὸς.) *cupio*, non sine cautione adhibita Hieronymo *temere fidendum* esse. —

3. καὶ πρωΐ, σήμερον χειμών· πυῤῥάζει γὰρ
στυγνάζων ὁ οὐρανός. ὑποκριταὶ, τὸ μὲν πρόσ-
ωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ
σημεῖα τῶν καιρῶν οὐ δύνασθε;
4. γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· ΡΞΓ. ϛ.
καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ ση-
μεῖον ἰωνᾶ τοῦ προφήτου. καὶ καταλιπὼν
αὐτοὺς, ἀπῆλθε.
5. καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέ- ΡΞΔ. β.
ραν, ἐπελάθοντο ἄρτους λαβεῖν. [Τέλος.] Τέλος ἐν τισι τῆς β. τῆς ϛ.
ΞΖ. 6. ὁ δὲ [Ἀρχή.] ἰησοῦς εἶπεν αὐτοῖς·

ΛΒ. περὶ τῆς ζύμης τῶν φαρισαίων.

ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν
φαρισαίων καὶ σαδδουκαίων. [Τέλος.] Τέλος τῆς β.
7. οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες· ὅτι ΡΞΕ. ϛ.
ἄρτους οὐκ ἐλάβομεν.

γνοὺς

XVI, 6. ΞΖ. τῇ γ. τῆς η. [ἐν ἄλλοις, τῆς ϛ.] ἑβδ. ι. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ὁρᾶτε.

esse. — Cum reverentia ausculto, ut tironem decet. Vide praeterea Chrys. VII, 540. totam paginam, inprimisque d. ubi est: ὑποκριτὰς ἐτέρωθι (*alibi* ergo, non *hic.*) καλεῖ. Hoc rursus aliquos infatuavit, ut tollerent ὑποκριταί. Quae crisis!

3. ὑποκριταὶ] — E. v. P. Chrysost. VII, 540. b. et ibid. d.

4. γενεὰ] καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· γενεά. E. v. P. Euth. 142.

καταλιπὼν] optionem dat Chrys. VII, 540. c. 541. c. inter καταλιπὼν et ἀφεὶς. Cyrill. I, g. 303. non haec, sed Matth. 12, 38. respicit.

γνοὺς δὲ ὁ ἰησοῦς, ἐιπεν αὐτοῖς· τί διαλογί- 8.
ζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους ὀυκ
ἐλάβετε;
ὄυπω νοεῖτε, ὀυδὲ μνημονεύετε τοὺς πέντε 9.
ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κο-
φίνους ἐλάβετε;
ὀυδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, 10.
καὶ πόσας σπυρίδας ἐλάβετε;
πῶς ὀυ νοεῖτε, ὅτι ὀυ περὶ ἄρτου ἐιπον ὑμῖν, 11.
προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων
καὶ σαδδουκαίων;
τότε συνῆκαν, ὅτι ὀυκ ἐιπε προσέχειν ἀπὸ 12.
τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδα-
Τέλος τῆς γ. χῆς τῶν Φαρισαίων καὶ σαδδουκαίων. [Τέ-
λος.]

ΛΓ. περὶ τῆς ἐν καισαρείᾳ ἐπερωτήσεως.

ΡΞΕ. α. [Ἀρχή.] ἐλθὼν δὲ ὁ ἰησοῦς ἐις τὰ μέρη και- 13. ΞΖ.
σαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθη-
τὰς αὐτοῦ, λέγων· τίνα με λέγουσιν ὁι ἄν-
θρωποι ἐιναι, τὸν ὑιὸν τοῦ ἀνθρώπου.

ὁι

XVI, 13. ΞΖ. ἰουνίου κθ. τῶν ἁγίων ἀποστόλων πέτρου καὶ παύλου, ἐις τὴν λειτουργίαν, καὶ ἐις ἐγκαίνια ναοῦ [ἐν ἄλλοις, δεκεμβρίου κγ.] τ. κ. ἐ. ἐλθὼν ὁ ἰησοῦς ἐις τὰ μέρη.

8. ἐιπεν αὐτοῖς] ἐιπε. E.

11. ἄρτου] ἄρτων. D.

- προσέχειν ἀπὸ] προσέχειν, ἀλλ' ἀπὸ t προσέχειν, προσέχετε δὲ ἀπὸ t προσέχετε δὲ ἀπὸ t προσέχετε ἀπό. E. v. P.

14. οἱ δὲ εἶπον· οἱ μὲν, ἰωάννην τὸν βαπτιστήν·
ἄλλοι δὲ, ἠλίαν· ἕτεροι δὲ, ἱερεμίαν, ἢ ἕνα
τῶν προφητῶν.

15. λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;

16. ἀποκριθεὶς δὲ σίμων πέτρος, εἶπε· σὺ εἶ ὁ
χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

17. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτῷ· μακά- ΡΞΖ. ι.
ριος εἶ σίμων βὰρ ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα
οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ
ἐν τοῖς οὐρανοῖς.

18. κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ πέτρος, καὶ
ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν
ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσου-
σιν αὐτῆς· [Τέλος] Τέλος τῶν

19. καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν ἐγκαινίων
οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται καὶ δεκεμ-
δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς βρίου κγ.
ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Τέλος τῶν
[Τέλος.] ἀποστόλων.

ΞΗ. 20. τότε [Ἀρχή.] διεστείλατο τοῖς μαθηταῖς αὐ- ΡΞΗ. β.
τοῦ, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ἰησοῦς
ὁ χριστός.

21. ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς δεικνύειν τοῖς μα-
θηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς
ἱερο-

XVI, 20. ΞΗ. τῇ δ. τῆς η. [ἐν ἄλλοις, τῆς ς.] ἑβδ. τ. κ. ἐ. διεστείλατο ὁ ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ.

20. διεστείλατο] ἐπετίμησε. E. v. P.
ἰησοῦς] — A. v. P. Evangeliaria Goth. et Aug. 4. habent ſolam lectionem 13 — 19. Illud fol. 255. hoc fol. 253.

ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν
πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμμα-
τέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέ-
ρᾳ ἐγερθῆναι.

ΡΞΘ. ϛ. καὶ προσλαβόμενος αὐτὸν ὁ πέτρος, ἤρξατο 22.
ἐπιτιμᾷν αὐτῷ, λέγων· ἵλεώς σοι κύριε· οὐ
μὴ ἔσαι σοι τοῦτο.

ὁ δὲ σραφεὶς, εἶπε τῷ πέτρῳ· ὕπαγε ὀπίσω 23.
μου σατανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ φρο-
νεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώ-
πων.

ΡΟ. β. τότε ὁ ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· 24.
['Αρχή.] εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ΞΘ.
ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σαυ-
Τέλος τῆς δ. ρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· [Τέλος.]

ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, 25.
ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυ-
χὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσ- 26.
μον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζη-
μιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα
τῆς ψυχῆς αὐτοῦ;

ΡΟΑ. ι. μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι 27.
ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν
ἀγγέ-

XVI, 24. ΞΘ. τῇ ε. τῆς η. [ἐν ἄλλοις, τῆς ϛ.] ἑβδ. ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· εἴ τις θέλει.

23. σραφεὶς] ἐπισραφείς. E. Elegantius ſane, ſed ob id ipſum ſuſpectum.

ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ
κατὰ τὴν πρᾶξιν αὐτοῦ.
28. ἀμὴν λέγω ὑμῖν, εἰσί τινες * ὧδε·* ἑστῶτες, ΡΟΒ. β.
οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν
ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ
βασιλείᾳ αὐτοῦ. [Τέλος.] Τέλος τῆς ι.

ΛΔ. περὶ τῆς μεταμορφώσεως.

XVII, 1. Καὶ μεθ' ἡμέρας ἓξ ['Αρχή.] παραλαμβά-
Ο. νει ὁ ἰησοῦς τὸν πέτρον, καὶ ἰάκωβον, καὶ
ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἀναφέρει
αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.
2. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ
ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ
δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς.
3. καὶ ἰδού, ὤφθησαν αὐτοῖς μωυσῆς καὶ ἠλίας,
μετ' αὐτοῦ συλλαλοῦντες.
4. ἀποκριθεὶς δὲ ὁ πέτρος, εἶπε τῷ ἰησοῦ· κύ-
ριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποι-
ήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ
μωυσῇ μίαν, καὶ μίαν ἠλίᾳ.

ἔτι

XVII, 1. O. τῇ ς. τοῦ αὐγούστου, τῆς μεταμορφώσεως, εἰς τὴν λειτουργίαν· τ. κ. ἰ. παραλαμβάνει ὁ ἰησοῦς.

27. τὴν πρᾶξιν] τὰ ἔργα. E. Utrumque Chryf. VII, 560. a. c. Unde autem arripuit ἔργα; ex hymno. v. 561. a. coll. 560. fin. ἔργα habet etiam Cyrill. III, 30. 47. Idem alibi multoties hunc verſum habet. Sed non eſt huius loci ſingula referri.

28. τῶν ὧδε ἑστηκότων] τῶν ὧδε ἑστώτων. A. ὧδε ἑστῶτες. v. P. Weſt. Alter. Birch. Quatuor Augg. habent ἑστῶτες, ſed tres ſimul ſervant τῶν.

XVII, 2. φῶς] χιών. E. Nullus, niſi infimi Codd. habent. Vulgatum etiam Cyrill. II, 696. etsi bis, ex Marc. 9, 3. ut videtur, habeat χιών. IV, 1092. 1098.

F 2

ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ 5.
ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς
νεφέλης, λέγουσα· ὅυτός ἐστιν ὁ υἱός μου ὁ
ἀγαπητὸς, ἐν ᾧ ἐυδόκησα· αὐτοῦ ἀκούετε.

καὶ ἀκούσαντες ὁι μαθηταὶ, ἔπεσον ἐπὶ πρόσ- 6.
ωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα.

καὶ προσελθὼν ὁ ἰησοῦς, ἥψατο αὐτῶν, καὶ 7.
ἔιπεν· ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, ὀυδέ- 8.
να ἔιδον, ἐι μὴ τὸν ἰησοῦν μόνον.

καὶ καταβαινόντων αὐτῶν * ἐκ τοῦ ὄρους, 9.
ἐνετείλατο αὐτοῖς ὁ ἰησοῦς, λέγων· μηδενὶ
Τέλος τῆς μεταμορφώσεως. ἔιπητε τὸ ὅραμα, ἕως ὅυ ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐκ νεκρῶν ἀναστῇ. [Τέλος.]

ΡΟΓ. ς. καὶ [Ἀρχή.] ἐπηρώτησαν αὐτὸν ὁι μαθηταὶ 10. ΟΛ.
αὐτοῦ, λέγοντες· τί ὅυν ὁι γραμματεῖς λέ-
γουσιν, ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

ὁ δὲ ἰησοῦς ἀποκριθεὶς, ἔιπεν αὐτοῖς· ἠλίας 11.
μὲν ἔρχεται πρῶτον, καὶ ἀποκαταστήσει
πάντα.

λέγω δὲ ὑμῖν, ὅτι ἠλίας ἤδη ἦλθε· καὶ ὀυκ 12.
ἐπέγνωσαν αὐτόν· ἀλλ' ἐποίησαν ἐν αὐτῷ,
ὅσα ἠθέλησαν· ὅυτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώ-
που μέλλει πάσχειν ὑπ' αὐτῶν.

τότε

XVII, 10. ΟΛ. τῇ ς. τῆς η. [ἐν ἄλλοις, τῆς ς.] ἑβδ. τ. κ. ἑ. ἐπηρώτησαν τὸν ἰησοῦν ὁι μαθηταὶ αὐτοῦ.

5. φωτεινὴ] φωτός. D. v. P. Bis vulgat. Chryf. VII, 569. d. e. Cyrill. V, a. 310.

9. ἀπὸ τοῦ] ἐκ τοῦ v. Euth. II, 394.

13. τότε συνῆκαν ὁι μαθηταὶ, ὅτι περὶ ἰωάννου
τοῦ βαπτιςοῦ ἔιπεν ἀυτοῖς. [Τέλος.] Τέλος ἔν τισι τῆς ϛ. τῆς ϛ.

ΛΕ. περὶ τοῦ σεληνιαζομένου

ΟΒ. 14. καὶ ἐλθόντων ἀυτῶν πρὸς τὸν ὄχλον, [Ἀρχή.] ΡΟΔ. β.
προσῆλθεν ἀυτῷ ἄνθρωπος, γονυπετῶν * ἀυ-
τὸν,

15. καὶ λέγων· κύριε, ἐλέησόν μου τὸν ὑιὸν, ὅτι
σεληνιάζεται, καὶ κακῶς πάσχει· πολλάκις
γὰρ πίπτει ἐις τὸ πῦρ, καὶ πολλάκις ἐις
τὸ ὕδωρ.

καὶ

XVII, 14. ΟΒ. κυριακῇ ι. τ. κ. ἱ. [προσῆλθε τῷ ἰησοῦ ἄνθρωπος γονυπετῶν] ἄνθρωπός τις προσῆλθε τῷ ἰησοῦ γονυπετῶν ἀυτὸν καὶ λέγων.

14. γονυπετῶν ἀυτῷ] γονυπετῶν ἀυτόν.

15. πολλάκις posterius] ἐνίοτε, E. v. P. Origenem l. l. vindicare etiam secundum πολλάκις, intelligit quivis graece doctus. Ἐνίοτε ibi idem est, quod ὁτέ. Πολλάκις vero ad utrumque membrum pertinet. Si enim ἐνίοτε repugnaret τῷ πολλάκις, ὁτὲ quoque repugnaret. Utraque particula notat *modo* — *modo.* Fateor tamen, me ita non fuisse scripturum. Verum Origenes saepius modo negligenter, modo obscure, modo nec graece scribit. Hinc accidit, ut infimi et stultissimi scribae Codd. Wetst. D. 1. ex quibus Griesbachius *suam recensionem occidentalem* exscalpsit, auctoritate Origenis ἐνίοτε loco posterioris πολλάκις in contextum importarent. Nonne ergo hoc loco et innumerabilibus pluribus isti Codices ex Origene corrupti deprehenduntur? Quid, quod Griesbachius ipse (Ἀυτός.) ἐνίοτε apud Orig. pro verbis textus acceperat? Se ergò (in comment. crit pag. 145.) excusat, quod ἐνίοτε non intellexit. Me eodem loco deinceps continuo accusat, quod ἐνίοτε non intellexerim. Qui stupor!

ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ 5.
ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς
νεφέλης, λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ
ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.

καὶ ἀκούσαντες οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσ- 6.
ωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα.

καὶ προσελθὼν ὁ ἰησοῦς, ἥψατο αὐτῶν, καὶ 7.
εἶπεν· ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδέ- 8.
να εἶδον, εἰ μὴ τὸν ἰησοῦν μόνον.

καὶ καταβαινόντων αὐτῶν * ἐκ τοῦ ὄρους, 9.
ἐνετείλατο αὐτοῖς ὁ ἰησοῦς, λέγων· μηδενὶ
Τέλος τῆς μεταμορφώσεως. εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐκ νεκρῶν ἀναστῇ. [Τέλος.]

ΡΟΓ. ϛ. καὶ [Ἀρχή.] ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ 10. ΟΔ.
αὐτοῦ, λέγοντες· τί οὖν οἱ γραμματεῖς λέ-
γουσιν, ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

ὁ δὲ ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· ἠλίας 11.
μὲν ἔρχεται πρῶτον, καὶ ἀποκαταστήσει
πάντα.

λέγω δὲ ὑμῖν, ὅτι ἠλίας ἤδη ἦλθε· καὶ οὐκ 12.
ἐπέγνωσαν αὐτόν· ἀλλ' ἐποίησαν ἐν αὐτῷ,
ὅσα ἠθέλησαν· οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώ-
που μέλλει πάσχειν ὑπ' αὐτῶν.

τότε

XVII, 10. ΟΔ. τῇ ϛ. τῆς η. [ἐν ἄλλοις, τῆς ϛ.] ἑβδ. τ. κ. ἑ. ἐπηρώτησαν τὸν ἰησοῦν οἱ μαθηταὶ αὐτοῦ.

5. φωτεινὴ] φωτός. D. v. P. Bis vulgat. Chryſ. VII, 569. d. e. Cyrill. V, a. 310.

9. ἀπὸ τοῦ] ἐκ τοῦ v. Euth. II, 594.

13. τότε συνῆκαν οἱ μαθηταὶ, ὅτι περὶ ἰωάννου
τοῦ βαπτιςοῦ εἶπεν αὐτοῖς. [Τέλος.] Τέλος ἐν τισι τῆς ς. τῆς ς.

ΛΕ. περὶ τοῦ σεληνιαζομένου

ΟΒ. 14. καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, [Ἀρχή.] ΡΟΔ. β.
προσῆλθεν αὐτῷ ἄνθρωπος, γονυπετῶν * αὐτὸν,

15. καὶ λέγων· κύριε, ἐλέησόν μου τὸν υἱὸν, ὅτι
σεληνιάζεται, καὶ κακῶς πάσχει· πολλάκις
γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς
τὸ ὕδωρ.

καὶ

XVII, 14. ΟΒ. κυριακῇ ι. τ. κ. ἑ. [προσῆλθε τῷ ἰησοῦ ἄνθρωπος γονυπετῶν] ἄνθρωπός τις προσῆλθε τῷ ἰησοῦ γονυπετῶν αὐτὸν καὶ λέγων.

14. γονυπετῶν αὐτῷ] γονυπετῶν αὐτόν.

15. πολλάκις posterius] ἐνίοτε, E. v. P. Origenem l. l. vindicare etiam secundum πολλάκις, intelligit quivis graece doctus. Ἐνίοτε ibi idem est, quod ὁτέ. Πολλάκις vero ad utrumque membrum pertinet. Si enim ἐνίοτε repugnaret τῷ πολλάκις, ὁτὲ quoque repugnaret. Utraque particula notat *modo — modo.* Fateor tamen, me ita non fuisse scripturum. Verum Origenes saepius modo negligenter, modo obscure, modo nec graece scribit. Hinc accidit, ut infimi et stultissimi scribae Codd. Wetst. D. 1. ex quibus Griesbachius *suam recensionem occidentalem* exscalpsit, auctoritate Origenis ἐνίοτε loco posterioris πολλάκις in contextum importarent. Nonne ergo hoc loco et innumerabilibus pluribus isti Codices ex Origene corrupti deprehenduntur? Quid, quod Griesbachius ipse (Ἀυτός.) ἐνίοτε apud Orig. pro verbis textus acceperat? Se ergo (in comment. crit pag. 145.) excusat, quod ἐνίοτε non intellexit. Me eodem loco deinceps continuo accusat, quod ἐνίοτε non intellexerim. Qui stupor!

καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, 16.
καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.
ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· ὦ γενεὰ ἄπι- 17.
στος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ᾽
ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι
αὐτὸν ὧδε.
καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν 18.
ἀπ᾽ αὐτοῦ τὸ δαιμόνιον· καὶ ἐθεραπεύθη ὁ
Τ[illegible] παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. [Τέλος.]
[illegible] τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ᾽ 19.
[illegible] εἶπον· διατί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκ-
βαλεῖν αὐτό;
ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· διὰ τὴν ἀπιστίαν 20.
ὑμῶν· ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν
ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ·
μετάβηθι [illegible] ἐκεῖ, καὶ μεταβήσεται·
[illegible] ὑμῖν.
τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν 21.
[illegible] καὶ νηστείᾳ.
[illegible] ἐν τῇ γαλιλαίᾳ, 22.
εἶπεν [illegible] μέλλει ὁ υἱὸς τοῦ ἀν-
θρώπου [illegible] εἰς χεῖρας ἀνθρώ-
πων,

καὶ

21. [illegible] E. v. P. et Griesb. comment. [illegible]

22. [illegible] — E. v. P. Mill. Sabatier. [illegible] Christianam [illegible] et [illegible] Habet etiam VII, [illegible] II. [illegible]

23. καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέ-
ρᾳ ἐγερθήσεται. [Τέλος.] καὶ ἐλυπήθησαν Τέλος τῆς
σφόδρα. κυριακῆς.

ΛΣ. περὶ τῶν αἰτούντων τὰ δίδραχμα.

ΟΓ. 24. ἐλθόντων δὲ αὐτῶν εἰς καπερναοὺμ, [Ἀρχή.] ΡΟΖ. ι.
προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ
πέτρῳ, καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τε-
λεῖ τὰ δίδραχμα;

25. λέγει· ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν,
προέφθασεν αὐτὸν ὁ ἰησοῦς, λέγων· τί σοι
δοκεῖ, σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τί-
νων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν
υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων;

26. λέγει αὐτῷ ὁ πέτρος· ἀπὸ τῶν ἀλλοτρίων.
ἔφη αὐτῷ ὁ ἰησοῦς· ἄραγε ἐλεύθεροί εἰσιν οἱ
υἱοί.

27. ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς
εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν
* ἀναβαίνοντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοί-
ξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖ-
νον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

ΛΖ. πε-

XVII, 24. ΟΓ. σαββάτῳ ι. τ. κ. ἰ. προσῆλθον οἱ τὰ δί-
δραχμα.

23. καὶ ἐλυπήθησαν σφόδρα] — Codd. infimi. v. Chryſ. VII, 578. b. 584. d. e. qui σφόδρα et ἐλυπήθησαν urget. Vide ſupra Τέλος. Evangeliarium Goth. fol. 71. terminat in ἀναστήσεται. Aug. 4. fol. 66. in ἐγερθήσεται. De Mosqq. monitum fuerat. Ergo alii poſt me monere poterant.

27. ἀναβάντα] ἀναβαίνοντα. A. v. P. A verſ. 24. ad fin. cap. v. Cyrill. IV, 189. et multoties alibi.

ΛΖ. περὶ τῶν λεγόντων, τίς μείζων;

ΡΟΗ. β. Ἐν ἐκείνῃ τῇ ὥρᾳ [Ἀρχή.] προσῆλθον οἱ XVIII, 1.
μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· τίς ἄρα μεί- ΟΔ.
ζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;
καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστη- 2.
σεν αὐτὸ ἐν μέσῳ αὐτῶν,
καὶ εἶπεν· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆ- 3.
τε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλ-
θητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
[Ἀρχή.] ὅστις οὖν * ταπεινώσει ἑαυτὸν ὡς τὸ 4. ΟΔ.
παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βα-
Τέλος τοῦ σαββάτου. σιλείᾳ τῶν οὐρανῶν, [Τέλος.]
καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ 5.
τῷ ὀνόματί μου, ἐμὲ δέχεται·
ΡΟΘ. β. ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων 6.
τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα
κρεμασθῇ μύλος ὀνικὸς * εἰς τὸν τράχηλον
αὐτοῦ,

XVIII, 1. ΟΔ. τῇ β. τῆς θ. ἑβδ. τ. κ. ἑ. προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ λέγοντες.

XVIII, 4. ΟΔ. τῇ β. τῆς ζ. ἑβδ. ἐν τισιν· ἑ. ὁ κ. ὅστις.

XVIII, 1. ὥρᾳ] ἡμέρᾳ. E. Istud urget Chrysost. VII, 586. e. v. P. Sermonem funebrem et lugubrem et miserabilem in Origenem v. ap. Griesb. comment. crit. p. 148.

4. ταπεινώσῃ] ταπεινώσει. v. P. In N. T. non graecitas, sed Codd. valent.

6. ἐπὶ τὸν τράχηλον] περὶ τὸν τράχηλον. E. εἰς τὸν τράχηλον. Εἰς inusitatum erat. Ergo alii περὶ, alii ἐπὶ importabant. Εἰς etiam interpret. Theophyl. 104. a. v. Cyrill. I, a. 250. III, 82. 153. V, a. 631. περὶ habet Marc. et Luc. Si ex LXX. venisset, deberet esse, ἐπὶ τοῦ τραχήλου. Sed aliud est, κρεμασθῆναι ἐπὶ ξύλου. v. Griesb. comment. crit. p. 148.

αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς
θαλάσσης.
7. ὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη
γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν ὐαὶ τῷ
ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρ-
χεται.
8. εἰ δὲ ἡ χείρ σου, ἢ ὁ πούς σου σκανδαλίζει ΡΠ. ϛ.
σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ· κα-
λόν σοι ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ
κυλλὸν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα
βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.
9. καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξε-
λε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶ
μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο
ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέεν-
ναν τοῦ πυρός.
ΟΕ. 10. [Ἀρχή.] ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν ΡΠΑ. ι.
μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγε-
λοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι
τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρα-
νοῖς.
11. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ΡΠΒ. ι.
ἀπολωλός. [Τέλος.] Τέλος τῆς β.
καὶ ἐν τισι
τῆς β. τῆς ζ.

ΛΗ. πι-

XVIII, 10. ΟΕ. τῇ β. τῆς α. ἑβδ. τοῦ ἁγίου πνεύματος, ἤτοι μετὰ τὴν πεντηκοστήν· [ἐν ἄλλοις· καὶ εἰς τὴν σύναξιν τῶν ἀσωμάτων.] ε. ο. κ. ὁρᾶτε μὴ καταφρονήσητε.

7. ἐστιν et ἐκείνῳ] — Ε.

11. ἦλθε — ἀπολωλός.] — Ε. In tribus lectt. ecclefiaftt. recitatur. Exhibent mei omnes et plerique aliorum.

Habet

ΛΗ. περὶ τῶν ἑκατὸν προβάτων παραβολή.

τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ 12.
ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν·
οὐχὶ ἀφεὶς τὰ *ἐνενηκονταεννέα, ⸌ ἐπὶ τὰ
ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον;
καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω 13.
ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ
τοῖς *ἐνενηκονταεννέα, ⸌ τοῖς μὴ πεπλανη-
μένοις.
οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πα- 14.
τρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς
τῶν μικρῶν τούτων.
ΡΠΓ. ι. ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπα- 15.
γε καὶ ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐ-
τοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν
ἀδελφόν σου·
ΡΠΔ. ι. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι 16.
ἕνα

Habet Chryfoft. VII, 600. a. c. De nexu fortaſſe dubitabatur, quem notant Theophyl. et Euth. ad h. l. Omittit Orig. in interpretatione. Reſpondeo cum Hieronymo, ut 16, 2. 3. *ſenſusque manifeſtus eſt.* Nonne vero utroque loco aliqui argumentati ſunt: Quod Origenes non explicat, id non eſt evangelii?

12. 13. ἐννενηκονταεννέα] ἐνενηκονταεννέα. v. Wetſt. P.

14. εἷς] ἓν ex incogitantia ortum. *Homines* enim ſervantur, non *oves*. Similis confuſio eſt mox inter μικρῶν et νομικῶν. Ita ſolum defendi poſſit ἓν, ſi ad παιδίον referatur, quod tamen procul arceſſitum eſt. v. Griesb. comm. crit. p. 149.

15. ἁμαρτήσῃ] ἁμάρτῃ. D. Cyrill. I, a. 104. laudat usque ad verſ. 17.

καὶ ἔλεγξον] καὶ — D.

ἕνα ἢ δύο· ἵνα ἐπὶ ϛόματος δύο μαρτύρων ἢ
τριῶν ϛαθῇ πᾶν ῥῆμα.

17. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ·
ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔϛω
σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

OƷ. 18. [Ἀρχή.] ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ΡΠΕ. ζ.
ἐπὶ τῆς γῆς, ἔϛαι δεδεμένα ἐν τῷ οὐρανῷ·
καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔϛαι λε-
λυμένα ἐν τῷ οὐρανῷ.

19. πάλιν * ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν ΡΠϚ. α.
συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγ-
ματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς
παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

20. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ
ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. [Τέ- Τέλος τῆς β. μετὰ τὴν γ.
λος.]

21. τότε προσελθὼν αὐτῷ ὁ πέτρος, εἶπε· κύριε, ΡΠΖ. ε.
ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου,
καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;

22. λέγει αὐτῷ ὁ ἰησοῦς· οὐ λέγω σοι, ἕως ἑπτά-
κις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. [Ὑπέρ- Ὑπέρβα εἰς τὸ τῆς γ.
βα.]

ΔΘ. πε-

XVIII. 18. OƷ. τῇ γ. τῆς θ. ἑβδ. ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μα-
θηταῖς· ἀμὴν λέγω ὑμῖν.

16. ϛαθῇ] ϛαθήσεται. A. 5 v. Wetſt. P. Birch. Chryſoſt.
VII., 606. 607. ibique Montf. Ἵνα cum indicativo
futuri in graecis etiam ſcriptoribus defenditur. Ve-
rum ex Cyrill. VI, a. 199. e. colligere licet, hnc
translatum eſſe ex Deut. 19, 15. Nam Cyrill. I, a.
104. habet ϛαθῇ.

19. πάλιν] + ἀμήν.

ΛΘ. περὶ τοῦ ὀφείλοντος τὰ μύρια τάλαντα.

ΡΠΗ. ι. διὰ τοῦτο [Ἀρχή.] ὡμοιώθη ἡ βασιλεία τῶν 23. ΟΖ.
οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθελήσε συνᾶ-
ραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.
ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη 24.
αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων.
μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν 25.
αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυ-
ναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα
εἶχε· καὶ ἀποδοθῆναι.
πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων· 26.
κύριε μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι
ἀποδώσω.
σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκεί- 27.
νου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν
αὐτῷ.
ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν 28.
συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν
δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων·
ἀπόδος μοι * εἴ τι ὀφείλεις.
πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας 29.
αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· μακροθύμη-
σον ἐπ' ἐμοὶ, καὶ * ἀποδώσω σοι.

ὁ

XVIII, 23. ΟΖ. κυριακῇ ια. ε. ὁ κ. τὴν παραβολὴν ταύ-
την· ὡμοιώθη ἡ βασιλεία.
28. ὅ, τι ὀφείλεις] εἴ τι ὀφείλεις.
29. εἰς τοὺς πόδας αὐτοῦ] — E. v. P.
καὶ πάντα] πάντα —.

Γο

30. ὁ δὲ οὐκ ἤθελεν· ἀλλ' ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον.

31. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ * ἑαυτῶν πάντα τὰ γενόμενα.

32. τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ· δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με·

33. οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα;

34. καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

35. οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. [Τέλος.] Τέλος τῆς κυριακῆς.

XIX, 1. [Ἄρξου.] Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς ΡΠΘ ς.
τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς γα- Ἄρξου τῆς
λιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς ἰουδαίας, γ.
πέραν τοῦ ἰορδάνου.

2. καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. [Ὑπέρβα.] Ὑπέρβα εἰς τὸ τῆς γ.

Μ. πι-

31. κυρίῳ αὐτῶν] κυρίῳ ἑαυτῶν.
35. ἐπουράνιος] οὐράνιος. D.
τὰ παραπτώματα ὑμῶν] — E. v. P.

Μ. περὶ τῶν ἐπερωτησάντων, εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα.

καὶ [Ἀρχή.] προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι, 3. ΟΗ.
πειράζοντες αὐτὸν καὶ λέγοντες αὐτῷ· εἰ
ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐ-
τοῦ κατὰ πᾶσαν αἰτίαν;
ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε, 4.
ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτούς;
καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρω- 5.
πος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ * κολ-
ληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ
δύο εἰς σάρκα μίαν.
ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν 6.
ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.
λέγουσιν αὐτῷ· τί οὖν μωυσῆς ἐνετείλατο 7.
δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐ-
τήν;
λέγει αὐτοῖς· ὅτι μωυσῆς πρὸς τὴν σκλη- 8.
ροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι
τὰς

XIX, 3. ΟΗ. σαββάτῳ ια. τ. κ. ι. προσῆλθον τῷ Ἰησοῦ [οἱ] Φαρισαῖοι.

XIX, 5. πατέρα] + αὐτοῦ. E.
προσκολληθήσεται] κολληθήσεται. A.

8. ἐπέτρεψεν — γυν. ὑμῶν] οὕτως ἐνομοθέτησε. E. Comparentur P. et Griesb. comm. crit. p. 152. quo in loco meam diligentiam voluit infamare. Miseret me eius, cum mihi nec doctrinam, nec ingenium opponat, sed sicam solum plumbeam et hebetem ὑπὸ μάλης ostendat. Apud Cyrill. III, 846. c., est ἐνετείλατο. Atqui hic ad recensionem Alexandrinam pertinet, illo auctore.

τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ ου γέγονεν οὕτω.

9. λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖ- PϚ. β.
κα αὐτοῦ, * μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ
ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.

10. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ἐι οὕτως PϚA. ι.
ἐςὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, ου συμφέρει γαμῆσαι.

11. ὁ δὲ ἐιπεν αὐτοῖς· ου πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' ὁις δέδοται.

12. ἐισὶ γὰρ ἐυνοῦχοι, ὁιτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω· καί ἐισιν ἐυνοῦχοι, ὁιτινες ἐυνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί ἐισιν ἐυνοῦχοι, ὁιτινες ἐυνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν ὀυρανῶν. ὁ δυνάμενος χωρεῖν, Τέλος τοῦ
χωρείτω. [Τέλος.] σαββάτου.

13. [Ἄρξου.] τότε προσηνέχθη αὐτῷ παιδία, PϚB. β.
ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξη- Ἄρξου τῆς
ται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. γ.

14. ὁ δὲ ἰησοῦς ἐιπεν· ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐςὶν ἡ βασιλεία τῶν ὀυρανῶν.

15. καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη
ἐκεῖθεν. [Τέλος.] Τέλος τῆς γ.

ΜΑ. πι-

9. ἐι μὴ] ἐι — v. P. Euth. 143. ἐι Erasmus invexit. In ſchol. Mosqq. eſt: μὴ διδοὺς ἄδειαν λύειν τὸν γάμον, ἐι μὴ μόνῳ (etiam μόνον) τῷ καταλαβόντι πορνευομένην τὴν γυναῖκα. Similiter Orig. et Chryſoſt. Io. 13, 19. ante μὴ importarunt ἐι.

ΜΑ. περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν ἰησοῦν.

ΡϟΓ. β. καὶ ἰδού, ἕις [Ἀρχή.] προσελθών, ἕιπεν αὐ- 16. ΟΘ.
τῷ· διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω,
ἵνα ἔχω ζωὴν αἰώνιον;
ὁ δὲ ἕιπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; ὀυδ- 17.
εὶς ἀγαθὸς, ἐι μὴ ἕις, ὁ θεός. ἐι δὲ θέλεις
ἐισελθεῖν ἐις τὴν ζωὴν, τήρησον τὰς ἐντολάς.

λέγει

XIX, 16. ΟΘ. *κυριακῇ ιβ. τ. κ. ἐ. νεανίσκος τὶς προσῆλθε τῷ ἰησοῦ γονυπετῶν αὐτὸν καὶ λέγων· διδάσκαλε.*

16. *ἀγαθὲ*] — E. v. P.

ἔχω] *σχῶ* t *κληρονομήσω*. E.

17. *λέγεις ἀγαθόν; ὀυδεὶς ἀγαθὸς, ἐι μὴ ἕις ὁ θεός.*] *ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; ἕις ἐστιν ὁ ἀγαθὸς* t *ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; ὀυδεὶς ἀγαθὸς, ἐι μὴ ἕις ὁ θεός*. E. v. Wetſt. P. Euſeb. Praep. Evang. p. 542. b. Credebant, hoc adverſari dignitati Chriſti. Fingebant ergo pro tempore lectionem, ut opinabantur, magis piam. Nam et fraus in tempore habetur a quibusdam pia. Acutiores interpretes ſine dolo et fraude pie hoc interpretati ſunt. In lectione vulgata, quae eſt praeſtantiſſimorum ac fere omnium Codd. Chriſtus opportune et ad *ἀγαθὲ*, et ad *τί ποιήσω* reſpondet. Sed excludatur ſane *ἀγαθὲ*, ſi ita poſtulat Origenes: tamen *τί ἀγαθὸν ποιήσω* relinquitur. Quid iam poteſt intelligi aut fingi abſurdius reſponſo, quod Origenes Chriſto in os immiſit? Nec enim iuvenis iſte interrogaverat, *quis* aut *quid* eſſet *φυσικῶς καὶ ὀυσιωδῶς ἀγαθὸς* ſ. *ὄν*· ſed quid *factu* eſſet *ἀγαθὸν*, ut id ſecutus nanciſceretur ſalutem. Id autem interrogaſſe iuvenem, vel reliqua docent: *ἐι δὲ θέλεις*, quae ipſe Origenes ſervavit. Talis eſt impoſtorum fortuna. Ipſi ſe aculeis induunt. Haec ſunt ergo iſta evangelia Origeniana! Apage! Quid dicam, quod duo evangeliſtae, Marcus et Lucas, incontaminatam Matthaei lectionem tuentur?

18. λέγει αὐτῷ· ποίας; ὁ δὲ ἰησοῦς εἶπε· τό· οὐ
φονεύσεις· οὐ μοιχεύσεις· οὐ κλέψεις· οὐ ψευ-
δομαρτυρήσεις·
19. τίμα τὸν πατέρα, * καὶ τὴν μητέρα· καί·
ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.
20. λέγει αὐτῷ ὁ νεανίσκος· πάντα ταῦτα ἐφυ-
λαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ; |τ
21. ἔφη αὐτῷ ὁ ἰησοῦς· ει θέλεις τέλειος εἶναι, ΡϞΔ. β.
ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ
δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·
καὶ δεῦρο, ἀκολούθει μοι.
22. ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθε ΡϞΕ. β.
λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.
23. ὁ δὲ ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· ἀμὴν
λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσε-
ται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
24. πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμη-
λον διὰ τρυπήματος ῥαφίδος * εἰσελθεῖν, ἢ
πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελ-
θεῖν.
25. ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσ-
σοντο σφόδρα, λέγοντες· τίς ἄρα δύναται
σωθῆναι;

ἐμβλέ-

19. πατέρα σου] σου —.
20. ἐφυλαξάμην] ἐφύλαξα. E.
24. διελθεῖν] εἰσελθεῖν In his scriptoribus graecitas et elegantia semper postponenda est auctoritati Codicum. In scriptoribus graecis vel contra Codices tuenda est graecitas. De τρύπης. v. P.
25. μαθηταὶ αὐτοῦ] αὐτοῦ — E.

ἐμβλέψας δὲ ὁ ἰησοῦς, ἔιπεν αὐτοῖς· παρὰ 26.
ἀνθρώποις τοῦτο ἀδύνατόν ἐςι, παρὰ δὲ θεῷ
Τέλος τῆς κυριακῆς. πάντα δυνατά ἐςι. [Τέλος.]
ΡϞΓ. ι. τότε [Ἄρξου.] [Ἀρχή.] ἀποκριθεὶς ὁ πέτρος, 27. ΟΘ.
Ἄρξου τῶν ἁγίων πάντων. ἔιπεν αὐτῷ ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα,
καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔςαι ἡμῖν;
ΡϞΖ. ι. ὁ δὲ ἰησοῦς ἔιπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, 28.
ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ ἰσραήλ.
ΡϞΗ. β. καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ 29.
ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ

XIX, 27. ΟΘ. σεπτεμβρίου ιβ. τοῦ ἁγίου αὐτονόμου καὶ τῶν σὺν αὐτῷ· τ. κ. ἐ. ἔιπε πέτρος τῷ ἰησοῦ· κύριε, ἰδού.

26. δυνατά ἐςι] ἐςι — D. Omittit etiam in fine lect. ſynaxarium, quod nunc Dresdae eſt. Illud ἐςὶν, ut aſſutum, diſplicebat. Multa alia omiſſa propter terminos lectionum. Habet Goth. fol. 74. et Aug. 4. fol. 70.

28. καὶ ὑμεῖς] καὶ αὐτοί. E. Orig. ſemel III, 688. a. ubi data opera interpretatur. It. I, 283. c. IV, 591. c. Utrumque omittit III, 419. f. 480. a. II, 821. c. et alibi. Cyrill. II, 857. a. τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνων. V, a. 244. a. καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους. Θρόνων forte ex Luca. Mirabile ſane, ἐπὶ h. l. duplicem habere in eodem verſu conſtructionem. Graece rectius habet genitivum. Sed hic de graecitate non eſt ſermo.

29. οἰκίας] οἰκίαν. E.

γυναῖκα] Griesb. comment. crit. pag. 164. verſ. 3. tradit, ab non nullis *iugulatam eſſe* hanc feminam. Ac ſi hic ſermo ſit de Caſſandra aut Clytemneſtra.

Quam nobilior!

ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

30. πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι, καὶ ἔσχατοι, πρῶτοι. [Τέλος.] ΡϞΘ. β.

Τέλος τῶν ἁγίων πάντων.

ΜΒ. περὶ τῶν μισθουμένων ἐργατῶν.

XX, 1. Π. ['Αρχή.] Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. C. ι.

2. * καὶ συμφωνήσας * μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

3. καὶ ἐξελθὼν περὶ * τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς.

4. * καὶ ἐκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν.

5. οἱ δὲ ἀπῆλθον. πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ * ἐνάτην ὥραν, ἐποίησεν ὡσαύτως.

περὶ

XX, 1. Π. τῇ δ. τῆς θ. [ἐν ἄλλοις· τῇ γ. τῆς ζ.] ἑβδ. καὶ μαρτίου θ. εἰς τοὺς ἁγίους τεσσαράκοντα· [τοὺς ἐν σεβαστείᾳ, δηλονότι.] ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὡμοιώθη [ὁμοία ἐστιν] ἡ βασιλεία τῶν οὐρανῶν.

XX, 2. συμφωνήσας δὲ] καὶ συμφωνήσας. Codd. Mosqq. satis docent, ita quoque Chrysostomum legisse. Sex enim ad manus habui ad hunc locum.

3. τὴν τρίτην] τὴν —.

4. κἀκείνοις] καὶ ἐκείνοις.

6. ἐννάτην] ἐνάτην. v. Wetst. et P. ad Act. III, 1.

περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν 6.
ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει αὐτοῖς· τί
ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;
λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο· 7.
λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμ-
πελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε.
ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμ- 8.
πελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς
ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρ-
ξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώ-
των.
καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, 9.
ἔλαβον ἀνὰ δηνάριον.
ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα 10.
λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνά-
ριον.
λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδε- 11.
σπότου,
λέγοντες· ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν 12.
ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας,
τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ
τὸν καύσωνα.

ὁ

6. ἀργοὺς] — E.

7. καὶ ὃ — λήψεσθε]. Inepte laudatur Orig. pro iſtis omiſſis. Qui eum legerunt norunt, multoties huiuscemodi verba, quae interpretatione non indigent, ab eo omitti. Multa ergo delenda eſſent. Ita ille ipſe 'Αυτὸς indicat', quem merito adoramus. v. Griesb. comment. crit. p. 133.

13. ὁ δὲ ἀποκριθεὶς, εἶπεν ἑνὶ αὐτῶν· ἑταῖρε,
οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι;
14. ἆρον τὸ σὸν καὶ ὕπαγε. θέλω δὲ τούτῳ τῷ
ἐσχάτῳ δοῦναι ὡς καὶ σοί·
15. ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς
ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι
ἐγὼ ἀγαθός εἰμι;
16. οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι· καὶ οἱ πρῶ-
τοι, ἔσχατοι. πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι Τέλος τῆς δ. καὶ τῶν ἁγίων.
δὲ ἐκλεκτοί. [Τέλος.]

ΠΑ. 17. καὶ [Ἀρχή.] ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσό- CA. β.
λυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς
κατ᾽ ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς·
18. ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦ-
σι καὶ γραμματεῦσι· καὶ κατακρινοῦσιν αὐ-
τὸν θανάτῳ·
19. καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ
ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ
τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

ΜΓ. περὶ τῶν υἱῶν Ζεβεδαίου.

20. τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζε- CB. ς.
βεδαί-

XX, 17. ΠΑ. τῇ ι. τῆς θ. ἑβδ. τ. κ. ἰ. ἀναβαίνων ὁ Ἰη-
σοῦς. Ἐν ἄλλοις· τῇ δ. τῆς ζ. τ. κ. ἰ. παρέλαβεν
ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ κατιδίαν.

15. ἢ ὁ] εἰ ὁ. D. v. P. Euth. 144. I, 774. Ex Saba-
tier. discitur, plures Latinistas hoc reddere cum la-
tina vulgata *an*, quod nullo modo potest esse ἤ. v.
Griesb. comment. crit. p. 166.

19. ἀναστήσεται] ἐγερθήσεται. E. v. P.

βεδαίου, μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα
καὶ αἰτοῦσά τι παρ' αὐτοῦ.

ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ 21.
ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ
δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων * σου, ἐν τῇ
βασιλείᾳ σου.

ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, εἶπε· οὐκ οἴδατε τί 22.
αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ
μέλλω πίνειν, * ἢ τὸ βάπτισμα, ὃ ἐγὼ βα-
πτίζομαι, βαπτισθῆναι; λέγουσιν αὐτῷ· δυ-
νάμεθα.

καὶ λέγει αὐτοῖς· τὸ μὲν ποτήριόν μου πίε- 23.
σθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι,
βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου

καὶ

21. εὐωνύμων] + σου.

22. καὶ τὸ] ἢ τό.

καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι] — E. Male intellectus videtur Origenes. Totus locus accuratius cognoscendus. Propositum habebat solum docere, quid esset discriminis inter *μέλλω πίνειν* et *πίνειν*. Sic paullo ante T. III. p. 714. ingeniose docet etiam, quoties in V. et N. Testamento deus pater et filius *confoederint*, ubi tamen ipse in fine addit: *καὶ τί με δεῖ ἐπὶ πλεῖον τοιαῦτα* (addo: *ἀνοήτως καὶ ἀνοήτως*) *συνάγειν*; In mentem veniebat Curtius III, 6, 9. ubi interpres docet, *qui ab Homeri temporibus in cubitum nixi fuerint.* Origenem autem saepius ab Hieronymo et Rufino male intellectum esse, ita ante oculos positum est, ut manibus prehendi possit a *lectoribus*. Atque hic quoque vetus interpretatio latina Origenis a graeco vehementer dissentit.

23. *καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε*] — E.

καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι,
ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.
24. καὶ ἀκούσαντες οἱ δέκα, ἠγανάκτησαν περὶ Cг. β.
τῶν δύο ἀδελφῶν.
25. ὁ δὲ ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν·
οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυ-
ριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιά-
ζουσιν αὐτῶν.
26. οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ
ἐν ὑμῖν μέγας γενέσθαι, * ἔσται ὑμῶν διάκο-
νος·
27. καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω
ὑμῶν δοῦλος·
28. ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακο- CΔ. δ.
νηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν
ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. [Τέλος.] Τέλος τῆς ε.

ΜΔ. περὶ τῶν δύο τυφλῶν.

ΠΒ. 29. καὶ [Ἀρχή.] ἐκπορευομένων αὐτῶν ἀπὸ ἱερι- CE. β.
χὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.
30. καὶ ἰδοὺ, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν
ὁδὸν, ἀκούσαντες ὅτι ἰησοῦς παράγει, ἔκρα-
ξαν λέγοντες· ἐλέησον ἡμᾶς κύριε, υἱὸς * δα-
υίδ.

ὁ

XX, 29. ΠΒ. σαββάτῳ ιβ. τ. κ. ἰ. ἐκπορευομένου τοῦ ἰησοῦ ἀπὸ ἱεριχώ.

26. δὲ ἔσται ἐν ὑμῖν] δὲ — E. ἐν — E.
ἔστω ὑμῶν] ἔσται ὑμῶν. A.

27. ἔστω ὑμῶν] ἔσται ὑμῶν. D.

28. De appendice huius verſus v. Wetſt. P. Birch. In fine verſus habet ὑπὲρ πολλῶν Cyrill. V. d. 148.

ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσω- 31.
σιν· οἱ δὲ μεῖζον ἔκραζον λέγοντες· ἐλέησον
ἡμᾶς, κύριε, υἱὸς * δαυίδ.
καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε· 32.
τί θέλετε ποιήσω ὑμῖν;
λέγουσιν αὐτῷ· κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν 33.
οἱ ὀφθαλμοί.
σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀφθαλ- 34.
μῶν αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ
Τέλος τοῦ ὀφθαλμοὶ, καὶ ἠκολούθησαν αὐτῷ. [Τέλος.]
ς. σαββάτου.

ΜΕ. περὶ τῆς ὄνου καὶ τοῦ πώλου.

ϛ5 β Καὶ [Ἀρχή.] ὅτε ἤγγισαν εἰς ἱεροσόλυμα, καὶ XXI, 1.
ἦλθον εἰς βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ΠΓ.
τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς,
λέγων αὐτοῖς· πορεύθητε εἰς τὴν κώμην τὴν 2.
ἀπέναντι ὑμῶν· καὶ εὐθέως εὑρήσετε ὄνον δε-
δεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες
ἀγάγετέ μοι.
καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος αὐ- 3.
τῶν χρείαν ἔχει· εὐθέως δὲ * ἀποστέλλει αὐτούς.

τοῦτο

XXI, 1. ΠΓ. κυριακῇ ς. τῶν βαΐων, τοῦ ὄρθρου· τ. κ. ἐ. ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς ἱεροσόλυμα καὶ ἦλθεν.

XXI, 1. ἤγγισαν — ἦλθον] ἤγγισεν — ἦλθεν. E. Orig. IV, 181. Chryſoſt. VII, 654. v. P.

βηθφαγῆ] βηθφαγήν. E. v. P. βηθσφαγῆ. E. Scribae graeci in mente habebant σφαγὴ, ut in χωρα-ζιν, χώρα. v. Beng. ad Matth. I, 1.

2. πορεύθητε] πορεύεσθε. E. Orig. IV, 181. Chryſoſt. VII. 654.

ἀπέναντι] κατέναντι. E. v. P.

3. εἴπῃ τι] εἴπῃ, τί ποιεῖτε; E. v. P.

ἀποστελεῖ] ἀποστέλλει.

4. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥη- CZ. ζ.
θὲν διὰ τοῦ προφήτου, λέγοντος·

5. εἴπατε τῇ θυγατρὶ σιών· ἰδοὺ, ὁ βασιλεύς
σου ἔρχεταί σοι πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ
ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου.

6. πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες CH. α.
καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς,

7. ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθη-
καν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ *
ἐπεκάθισεν ἐπάνω αὐτῶν.

8. ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμά-
τια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους
ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ.

9. οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολου- CΘ. α.
θοῦντες ἔκραζον λέγοντες· ὡσαννὰ τῷ υἱῷ
* δαυίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

καὶ

4. ὅλον] — E. v. P. et Chrysost. VII, 654.
προφήτου] + ζαχαρίου t ἠσαΐου. E. Notetur hoc ad Marc. I, 2.
λέγοντος] — E. v. Chrysost. l. l.

7. ἐπέθηκαν ἐπάνω αὐτῶν] ἐπέθηκαν ἐπ' αὐτῶν t ἐπέθηκαν ἐπ' αὐτόν. E. v. P.
ἐπεκάθισαν] ἐπεκάθισεν. v. Euth. 93.
ἐπάνω αὐτῶν] ἐπάνω αὐτοῦ t ἐπάνω αὐτῆς. E. Orig. IV, 187. b. αὐτῶν explicat, τῆς ὄνου καὶ τοῦ πώλου. Ergo alius ὄνον, alius πῶλον *adoptavit!* v. Wetst. P.

8. ἑαυτῶν] — E. Orig. IV, 187. b.
ἐστρώννυον] ἔστρωσαν. E. Orig. IV, 187. b. ibid. 181. c. omittit omnia ab ἄλλοι δὲ ad ὁδῷ.

9. ἔκραζον λέγοντες] ἔκραξαν. E. Orig. IV, 181. c.

CI. ι. καὶ εἰσελθόντος αὐτοῦ εἰς ἱεροσόλυμα, ἐσεί- 10.
σθη πᾶσα ἡ πόλις, λέγουσα· τίς ἐστιν οὗ-
τος;

οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός ἐστιν ἰησοῦς ὁ προ- 11.
Ὑπέρβα εἰς φήτης, ὁ ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας.
τὸ τῆς κυ- [Ὑπέρβα.]
ριακῆς.

CIA. α. καὶ [Ἀρχή.] εἰσῆλθεν ὁ ἰησοῦς εἰς τὸ ἱερὸν 12. ΠΔ.
τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πω-
λοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ
τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε,
καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς πε-
ριστεράς·

καὶ λέγει αὐτοῖς· γέγραπται· ὁ οἶκός μου, 13.
οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν
ἐποιήσατε σπήλαιον λῃστῶν.

ΜΞ. περὶ τῶν τυφλῶν καὶ χωλῶν.

Ὑπέρβα εἰς
CIB. ι. καὶ προσῆλθον αὐτῷ * χωλοὶ καὶ τυφλοὶ ἐν 14.
τὸ τῆς πα- τῷ ἱερῷ· καὶ ἐθεράπευσεν αὐτούς. [Ὑπέρ-
ρασκευῆς. βα.] [Τέλος.]
Τέλος ἐν τισι

CIΓ. ι. [Ἄρξου.] ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμ- 15.
Ἄρξου τῆς ματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς
κυριακῆς. παῖ-

XXI, 12. ΠΔ. τῇ γ. τῆς θ. [ἐν ἄλλοις· τῇ ε. τῆς ζ.] ιβδ. τ. κ. ἐ. εἰσῆλθεν ὁ ἰησοῦς εἰς τὸ ἱερόν.

10. ἡ πόλις] ἡ — E. Orig. IV, 187. c.

11. ὄχλοι] optionem dat inter πολλοὶ et ὄχλοι. Orig. v. P.

12. τοῦ θεοῦ] — E. γ. P.

13. ἐποιήσατε] πεποιήκατε t ποιεῖτε. E. Orig. III, 755. a. IV, 180. d. 187. v. P.

14. τυφλοὶ καὶ χωλοὶ] χωλοὶ καὶ τυφλοί.

παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας,
ὡσαννὰ τῷ υἱῷ δαυίδ, ἠγανάκτησαν,
16. καὶ εἶπον αὐτῷ· ἀκούεις τί οὗτοι λέγουσιν;
ὁ δὲ ἰησοῦς λέγει αὐτοῖς· ναί. οὐδέποτε ἀνέ-
γνωτε, ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόν-
των κατηρτίσω αἶνον; [Ἀρχὴ.] Ἀρχὴ τῆς παραμονῆς.

ΜΖ. περὶ τῆς ξηρανθείσης συκῆς.

17. καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς CΙΔ. ϛ.
πόλεως εἰς βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ.
[Τέλος.] Τέλος τῆς
ΠΕ. 18. πρωίας δὲ [Ἀρχή.] ἐπανάγων εἰς τὴν πόλιν, κυριακῆς
ἐπείνασε· καὶ ἐν ἄλλοις, τῆς ι.
19. καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' τῆς ζ.
αὐτὴν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα
μόνον· καὶ λέγει αὐτῇ· μηκέτι ἐκ σοῦ καρ-
πὸς γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη
παραχρῆμα ἡ συκῆ.
20. καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγον-
τες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Τέλος τῆς
[Τέλος.] παρασκευῆς.
21. ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, εἶπεν αὐτοῖς· ἀμὴν CΙΕ. ϛ.
λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακρι-
θῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλ-
λὰ

XXI, 18. ΠΕ. τῇ β. τῆς ι. [ἐν ἄλλοις, τῇ ϛ. τῆς ζ. καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ β. εἰς τὴν παννυχίδα.] ἐβδ. τ. κ. ἐ. ἐπανάγων ὁ ἰησοῦς εἰς τὴν πόλιν.

20. καὶ ἰδόντες] ἰδόντες δὲ. E. Orig. III, 758. a.

21. εἶπεν αὐτοῖς] αὐτοῖς — E. Orig. ibid. b.

λαὶ κἂν τῷ ὄρει τούτῳ ἔιπητε· ἄρθητι καὶ
βλήθητι ἐις τὴν θάλασσαν, γενήσεται.

CIS. δ. καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευ- 22.
Τέλος τῆς β. χῇ, πιςεύοντες, λήψεσθε. [Τέλος.]

ΜΗ. περὶ τῶν ἐπερωτησάντων ἀρχιερέων καὶ
πρεσβυτέρων.

CIZ. β. καὶ ἐλθόντι αὐτῷ ἐις τὸ ἱερὸν, [Ἀρχή.] προσ- 23. ΠΣ.
ῆλθον αὐτῷ διδάσκοντι ὁι ἀρχιερεῖς καὶ ὁι
πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν
ἐξουσίαν ταύτην;

ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, ἔιπεν αὐτοῖς· ἐρωτή- 24.
σω ὑμᾶς κἀγὼ λόγον ἕνα· ὃν ἐὰν ἔιπητέ
μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιῶ.

τὸ βάπτισμα ἰωάννου πόθεν ἦν; ἐξ ὀυρανοῦ, 25.
ἢ ἐξ ἀνθρώπων; ὁι δὲ διελογίζοντο παρ᾽ ἑαυ-
τοῖς, λέγοντες· ἐὰν ἔιπωμεν, ἐξ ὀυρανοῦ· ἐρεῖ
ἡμῖν· διατί ὄυν ὀυκ ἐπιςεύσατε αὐτῷ;

ἐὰν δὲ ἔιπωμεν, ἐξ ἀνθρώπων· φοβούμεθα 26.
τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν ἰωάννην
ὡς προφήτην.

καὶ ἀποκριθέντες τῷ ἰησοῦ, ἔιπον· ὀυκ ὄιδα- 27.
μεν. ἔφη αὐτοῖς καὶ αὐτός· ὀυδὲ ἐγὼ λέγω
Τέλος τῆς γ. ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. [Τέλος.]
καὶ ἐν ἄλλοις, τῆς σ. τῆς ζ.

ΜΗ. πε-

XXI, 23. ΠΣ. τῇ γ. τῆς ι. ἑβδ. τ. κ. ἰ. [ἐλθόντι τῷ ἰησοῦ ἐις τὸ ἱερὸν καὶ διδάσκοντι] προσῆλθον τῷ ἰησοῦ διδάσκοντι.

27. λέγω ὑμῖν] ὑμῖν λέγω. E. v. P.

ΜΘ. περὶ τῶν β. υἱῶν παραβολή.

ΠΖ. 28. τί δὲ ὑμῖν δοκεῖ; [Ἀρχή.] ἄνθρωπος εἶχε ΟΙΗ.
τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε·
τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ ἀμ-
πελῶνί μου.
29. ὁ δὲ ἀποκριθεὶς, εἶπεν· οὐ θέλω· ὕστερον δὲ
μεταμεληθεὶς, ἀπῆλθε.
30. καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως·
ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγὼ κύριε· καὶ οὐκ
ἀπῆλθε.
31. τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πα-
τρός; λέγουσιν αὐτῷ· ὁ πρῶτος. λέγει αὐ-
τοῖς ὁ ἰησοῦς· ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶ-
ναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν
βασιλείαν τοῦ θεοῦ.
32. ἦλθε γὰρ πρὸς ὑμᾶς ἰωάννης ἐν ὁδῷ δικαιο-
σύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τε-
λῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς
δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πι-
στεῦσαι αὐτῷ. [Τέλος.] Τέλος τῆς δ.

N. πι-

XXI, 28. ΠΖ. τῇ δ. τῆς ι. [ἐν ἄλλοις· τῇ β. τῆς η.] ἐβδ. ι. ὁ κ. τὴν παραβολὴν ταύτην ἄνθρωπός τις εἶχε τέκνα.

28. ἐν τῷ ἀμπελῶνι] εἰς τὸν ἀμπελῶνα. E. εἰς τὸν ἀγρόν. E. v. P.

ἀμπελῶνί μου] μου — E.

29. ἀπῆλθε] + εἰς τὸν ἀμπελῶνα. E. v. P.

30. δευτέρῳ] ἑτέρῳ. A.

32. οἱ δὲ τελῶναι — ἐπίστευσαν αὐτῷ] — E. Orig. III. 771. c.

πιστεῦσαι αὐτῷ] πιστεῦσαι ἐν αὐτῷ. E. Orig. III, 770. 771.

Ν. περὶ τοῦ ἀμπελῶνος παραβολή.

ϹΙΘ. Α. Ἄλλην παραβολὴν ἀκούσατε. [Ἀρχή.] ἄν- 33. ΠΗ.
θρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν
ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε,
καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε
πύργον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ
ἀπεδήμησεν.
ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέ- 34.
στειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωρ-
γοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ.
καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐ- 35.
τοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ
ἐλιθοβόλησαν.
πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας 36.
τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.
ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐ- 37.
τοῦ, λέγων· ἐντραπήσονται τὸν υἱόν μου.
οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυ- 38.
τοῖς· οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτεί-
νωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονο-
μίαν αὐτοῦ.

καὶ

XXI, 33. ΠΗ. κυριακῇ ιγ. καὶ εἰς τὸν ἅγιον πρωτομάρτυρα στέφανον· ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν δικαδεσπότης.

33. ἄνθρωπός τις] τις — D. Totum locum, ſervato τις, breviter complectitur Cyrill. II, 660.

35. ὃν μὲν ἔδειραν — ἐλιθοβόλησαν] οὓς μὲν ἔδηραν, οὓς δὲ ἐλιθοβόλησαν, οὓς δὲ ἀπέκτειναν. E. Orig. III, 770. b. Sibi ipſe, ut plerumque, repugnat ibid. 781. d.

38. κατάσχωμεν] σχῶμεν. E. Orig. III, 776. Cyrill. IV, 110.

39. καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμ-
πελῶνος, καὶ ἀπέκτειναν.
40. ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί
ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;
41. λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐ-
τούς· καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις
γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρ-
ποὺς ἐν τοῖς καιροῖς αὐτῶν.
42. λέγει αὐτοῖς ὁ ἰησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν
ταῖς γραφαῖς· λίθον ὃν ἀπεδοκίμασαν οἱ
οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γω-
νίας· παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι
θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; [Τέλος.] Τέλος τῆς
ΠΘ. 43. διὰ τοῦτο [Ἀρχή.] λέγω ὑμῖν, ὅτι ἀρθήσε- κυριακῆς καὶ τοῦ ἁγί-
ται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δο- ου.
θήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.
[Τέλος.] Τέλος ἔν τι-
44. καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλα- σι τῆς με- γάλης β.
σθήσεται· ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ, λικμήσει αὐτόν.
45. καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι CK. α.
τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν ὅτι περὶ
αὐτῶν λέγει.

καὶ

XXI, 43. ΠΘ. τῇ ι. τῆς γ. [ἐν ἄλλοις· τῇ γ. τῆς η.] ἑβδ. ι. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· [διὰ τοῦτο] λέγω ὑμῖν, [ὅτι] ἀρθήσεται.

110. 261. Sed idem I, g. 216. sine ulla varietate habet. Quid ergo hinc efficitur? Nihil. Eodem iure ex Chrysost. VII, 671. scribi possit: καὶ ὑμῶν ἔσται ἡ κληρονομία.

44. totus versus] — K. v. P. ēt hic vers. 3a.

καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν 46.
τοὺς ὄχλους; ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶ-
Τέλος τῆς ι. χον. ι. [Τέλος.]

ΝΑ. περὶ τῶν καλουμένων εἰς τοὺς γάμους.

CΚΑ. ι. Καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς XXII, 1.
ἐν παραβολαῖς, λέγων·

['Αρχή.] ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν 2. 5.
ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ
υἱῷ αὐτοῦ.

καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι 3.
τοὺς κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ
ἤθελον ἐλθεῖν.

πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· εἴπα- 4.
τε τοῖς κεκλημένοις· ἰδοὺ, τὸ ἄριστόν μου ἡτοί-
μασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα,
καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.

οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον· ὁ μὲν εἰς τὸν 5.
ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ·

οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐ- 6.
του, ὕβρισαν καὶ ἀπέκτειναν.

* καὶ ἀκούσας * ὁ βασιλεὺς * ἐκεῖνος ὠργίσθη· 7.
καὶ

XXII, 2. 5. κυριακῇ ιδ. ι. ὁ κ. τὴν παραβολὴν ταύτην·
ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν.
46. τοὺς ὄχλους] διὰ τοὺς ὄχλους. E.
ἐπειδὴ ὡς] ὅτι ὡς t ἐπεὶ εἰς. E. v. P.
XXII, 4. μου ἡτοίμασα] μου ἡτοίμασαι t μου ἡτοίμακα
t ἡτοίμασα. E.
5. ὁ μὲν — ὁ δὲ] ὃς μὲν — ὃς δέ. E.
4. σιτιστὰ] + μου. E. σιτευτά. E. v. P.
7. ἀκούσας δὲ] καὶ ἀκούσας.
βασιλεὺς] + ἐκεῖνος.

καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώ-
λεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐ-
τῶν ἐνέπρησε.
8. τότε λέγει τοῖς δούλοις αὐτοῦ· ὁ μὲν γάμος
ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν
ἄξιοι.
9. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν,
καὶ ὅσους * ἐὰν εὕρητε, καλέσατε εἰς τοὺς
γάμους.
10. καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς,
συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε
καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνα-
κειμένων.
11. εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνα- CKB.
κειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμέ-
νον ἔνδυμα γάμου·
12. καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε
μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη.
13. τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες
αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν, καὶ
ἐκβά-

9. ὅσους ἂν] ὅσους ἐάν.
12. ἑταῖρε] — E. v. P.
13. δήσαντες — εἰς τὸ] δήσαντες αὐτὸν ποδῶν καὶ χειρῶν ἐκβάλετε αὐτὸν εἰς τό. E. Orig. IV, 379. b. c. ἄρατε αὐτὸν ποδῶν καὶ χειρῶν καὶ βάλετε αὐτὸν κ. τ. λ. Latine: *tollite eum a pedibus et manibus, et mittite eum in tenebras, quae sunt exteriores.* E. v. Irenaeus p. 279.
πόδας καὶ χεῖρας] χεῖράς καὶ πόδας. D. Tutius arbitrabantur, prius vincire manus.
ἄρατε αὐτὸν καὶ] — E. v. P.

ἐκβάλετε ἐις τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ
ἔσαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόν-
των.
πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. 14.
Τέλος τῆς κυριακῆς. [Τέλος.]

ΝΒ. περὶ τῶν ἐπερωτησάντων διὰ τὸν κῆνσον.

Σκγ. β. τότε πορευθέντες [Ἀρχή.] οἱ Φαρισαῖοι, συμ- 15. ϡΑ.
βούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν
λόγῳ.
καὶ ἀποςέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐ- 16.
τῶν μετὰ τῶν ἡρωδιανῶν, λέγοντες· διδάσκα-
λε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ
θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοὶ
περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον
ἀνθρώπων.
εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεςι δοῦναι κῆν- 17.
σον καίσαρι ἢ οὔ;
γνοὺς δὲ ὁ ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε· 18.
τί με πειράζετε ὑποκριταί;
ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου· οἱ δὲ 19.
προσήνεγκαν αὐτῷ δηνάριον.

καὶ

XXII, 15. ϡΑ. σαββάτῳ ιγ. καὶ ἐν τισιν, εἰς τὴν παννυχίδα τῆς μεγάλης γ. ἤτοι τῇ μεγάλῃ γ. πρωΐ. τ. κ. ἑ. συμβούλιον ἔλαβον [πάντες] οἱ Φαρισαῖοι κατὰ τοῦ ἰησοῦ, ὅπως αὐτὸν παγιδεύσωσιν.

ἐκβάλετε] ἐμβάλετε t ἐμβάλετε αὐτὸν t βάλετε t ἐκβάλετε αὐτόν. E.

16. ἀνθρώπων] ἀνθρώπου. E.

18. πονηρίαν] πανουργίαν. E. ex Luca.

20. καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;

21. λέγουσιν αὐτῷ· καίσαρος. τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ καίσαρος, καίσαρι· καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ.

22. καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. [Τέλος.] Τέλος τοῦ σαββάτου.

ΝΓ. περὶ τῶν σαδδουκαίων.

ϚΒ. 23. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ [Ἀρχή.] προσῆλθον αὐτῷ σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν· καὶ ἐπηρώτησαν αὐτὸν,

24. λέγοντες· διδάσκαλε, μωυσῆς εἶπεν· ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

25. ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ.

26. ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.

27. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.

ἐν

XXII, 23. ϚΒ. τῇ ϛ. τῆς ια. [ἐν ἄλλοις· τῇ δ. τῆς η. ἐν ἄλλῳ· τῇ ϛ. τῆς ιε.] ἑβδ. τ. κ. ε. προσῆλθον τῷ Ἰησοῦ σαδδουκαῖοι.

23. οἱ λέγοντες] οἱ — E. οἱ absorpsit proximum οι in σαδδουκαῖοι.

25. γαμήσας] γήμας. E.

ἐν τῇ ὄυν ἀναςάσει, τίνος τῶν ἑπτὰ ἔςαι 28.
γυνή; πάντες γὰρ ἔσχον αὐτήν.
ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, ἔιπεν αὐτοῖς· πλα- 29.
νᾶσθε, μὴ ἐιδότες τὰς γραφὰς, μηδὲ τὴν δύ-
ναμιν τοῦ θεοῦ.
ἐν γὰρ τῇ ἀναςάσει ὄυτε γαμοῦσιν, ὄυτε ἐκ- 30.
γαμίζονται, ἀλλ᾽ ὡς ἄγγελοι τοῦ θεοῦ ἐν
ὀυρανῷ ἐισι.
περὶ δὲ τῆς ἀναςάσεως τῶν νεκρῶν ὀυκ ἀνέ- 31.
γνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ, λέγον-
τος·
ἐγώ ἐιμι ὁ θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, 32.
καὶ ὁ θεὸς ἰακώβ; ὀυκ ἔςιν ὁ θεὸς, θεὸς
νεκρῶν, ἀλλὰ ζώντων.
CKΔ. ϛ. καὶ ἀκούσαντες ὁι ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ 33.
Τέλος τῆς ϛ. τῇ διδαχῇ αὐτοῦ. [Τέλος.]

ΝΔ. περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.

ὁι δὲ Φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς 34.
Τέλος ἔν τισι τῆς δ. τῆς η. σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό. [Τέ-
λος.]
καὶ ἐπηρώτησεν ἔις ἐξ αὐτῶν [Ἀρχή.] νομι- 35. ϛΓ.
κὸς, πειράζων αὐτὸν καὶ λέγων·

διδά-

XXII, 35. ϛΓ. κυριακῇ ιε. τ. κ. ἐ. νομικός τις προσῆλ-
θε τῷ ἰησοῦ πειράζων αὐτὸν καὶ λέγων.
30. ἐκγαμίζονται] γαμίζονται t γαμίσκονται. E. v. P.
ἀλλ᾽ — ἐισι] ἀλλ᾽ ἐισὶν, ὡς ὁι ἄγγελοι ἐν τῷ ὀυρα-
νῷ. E. v. P.
32. ὁ] tribus prioribus locis ὁ, ante θεὸς, tollit Orig.
III, 828. d. addens: ὄυτως ἀνέγραψαν ματθαῖος καὶ
μάρκος καὶ λουκᾶς. E. v. P.
ὀυκ ἔςιν ὁ θεὸς] ὁ θεός. — E.

36. διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

37. ὁ δὲ Ἰησοῦς * ἔφη αὐτῷ· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν ὅλῃ * καρδίᾳ σου, καὶ ἐν ὅλῃ * ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.

38. αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.

39. δευτέρα δὲ ὁμοία * αὕτη· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

40. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

NB. περὶ τῆς τοῦ κυρίου πρὸς τοὺς Φαρισαίους ἐπερωτήσεως.

41. συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν CKE. β. αὐτοὺς ὁ Ἰησοῦς,

42. λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ χριστοῦ, τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ, τοῦ δαυίδ.

43. λέγει αὐτοῖς· πῶς οὖν δαυὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων·

44. εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

45. εἰ οὖν δαυὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;

καὶ

37. εἶπεν αὐτῷ] ἔφη αὐτῷ.
τῇ καρδίᾳ] τῇ —.
τῇ ψυχῇ] τῇ —.
39. ὁμοία αὐτῇ] ὁμοία αὕτη.
σεαυτὸν] ἑαυτόν. A.
κ (44. ὑποπόδιον] ὑποκάτω. E.
45. δαυὶδ καλεῖ αὐτὸν κύριον]. Alii post δαυὶδ, alii post αὐτὸν inculcant, ἐν πνεύματι· alii δαυὶδ ἐν πνεύματι κύριον καλεῖ αὐτόν. E.

CKϚ. β. καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· 46.
οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας
Τέλος τῆς κυριακῆς. ἐπερωτῆσαι αὐτὸν οὐκέτι. [Τέλος.]
CKZ. ι. Τότε. [Ἀρχή.] ὁ ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις XXIII, 1.
καὶ τοῖς μαθηταῖς αὐτοῦ, ϚΔ.
λέγων· ἐπὶ τῆς μωυσέως καθέδρας ἐκάθισαν 2.
οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι.
πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, 3.
τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐ-
τῶν μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποι-
οῦσι.
CKH. ε. δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβά- 4.
στακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν
ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλου-
σι κινῆσαι αὐτά.
CKΘ. β. πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ 5.
θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ
φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ
κράσπεδα τῶν ἱματίων αὐτῶν.
φιλοῦσί τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, 6.
καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγω-
γαῖς,

καὶ

XXIII, 1. ϚΔ. σαββάτῳ ιδ. π. κ. ἐ. ἐλάλησεν ὁ ἰησοῦς τοῖς ὄχλοις καὶ τοῖς.

XXIII, 3. ὅσα ἂν] ὅσα ἐάν.

4. γὰρ] δέ. E.

κινῆσαι] προσψαύειν. E. v. P. Chrysost. VII, 702 d. vulgatum interpretatur ἅψασθαι.

5. δὲ τὰ] γάρ τά. E.

7. καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββὶ, ῥαββί.

8. ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς, ὁ χριστός· πάντες δὲ ὑμεῖς, ἀδελφοί ἐστε. CA. ι.

9. καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

10. μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς, ὁ χριστός.

11. ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος. CAA. ι.

12. ὅστις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται. [Τέλος.] Τέλος τοῦ σαββάτου.

NΓ. περὶ τοῦ ταλανισμοῦ τῶν γραμματέων καὶ φαρισαίων.

ƷE. 13. [Ἀρχή.] οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, * ὅτι κατεσθίετε τὰς οἰκίας CAB. ι.

τῶν

XXIII, 13. [in vulgatis editt. 14.] ƷE. τῇ β. τῆς ια. [ἐν ἄλλοις· τῇ ε. τῆς η.] ἑβδ. ι. ὁ κ. [πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους·] οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κατεσθίετε.

7. ῥαββὶ, ῥαββὶ] ῥαββί. E. Chryfoft. VII, 703. d.

8. καθηγητὴς] διδάσκαλος. E. v. P. ubi etiam monitum eft de confufione Orig. Similiter fere habet Clem. Alex. p. 644. b. Vide etiam Chryfoft. VII, 628. d. VIII, 417. d. bis et VI, 4. c. Quid vero ex his trium clariffimorum virorum confufionibus efficitur? Nihil omnino, nec hic, nec ullibi alibi.

ὁ χριστὸς] — B.

11. ἔσται] ἔστω. E.

τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.
οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, * ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. 14.

CΑΓ. ι. οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. 15.

οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. 16.

μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; 17.

καί· ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. 18.

μωροὶ καὶ τυφλοὶ, τί γὰρ μεῖζον; τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; 19.

ὁ

13. 14.] Versus 14. in omnibus praestantioribus Codd. legitur ante 13. v. P. p. 364 — 367. Theophylact. edit. Venet. p. 124. c. d. Chrysost. VII, 707. c. d. e. Euthym. Zigab. I, 879. 881.

15. v. Euth. 146. P. ad vers. 16.
ποιῆσαι] ἵνα ποιήσητε. E. v. P.

20. ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ.

21. καὶ ὁ * ὀμνύων ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ * κατοικήσαντι αὐτόν.

22. καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. [Τέλος.] Τέλος τῆς β.

55. 23. [Ἀρχή.] οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. CΛΔ. ε.

24. ὁδηγοὶ τυφλοὶ, οἱ διϋλίζοντες τὸν κώνωπα, * τὴν δὲ κάμηλον καταπίνοντες. CΛΕ. δ.

25. οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτη- CΛϚ. ε.

ρίου

XXIII. 23. 55. τῇ γ. τῆς ια. [ἐν ἄλλοις, τῇ ϛ. τῆς η.] ἑβδ. ι. ὁ κ. [πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους·] οὐαὶ ὑμῖν γραμματεῖς.

21. ὁ ὀμόσας] ὁ ὀμνύων. v. P. Alter.

κατοικοῦντι] κατοικήσαντι. Non, *qui olim in eo habitavit:* id enim abſurdum: ſed, qui inde a condito templo in eo habitavit et adhuc, quo tempore Chriſtus haec differebat, in eo habitabat, h. e. maieſtate ſua colluſtrabat et patrocinio ſuo tuebatur. Act. VII, 48. v. Euth. 146. et Matth. 23, 2. ἐκάθισαν.

23. καὶ τὸ κύμινον] — E. v. P. Chryſoſt. VII, 285. a. 708. d.

ἔδει] δὲ ἔδει. D.

24. τὸν δὲ] τὴν δέ. Wetſtenius et alii τὴν δέ.

ρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν
ἐξ ἁρπαγῆς καὶ * ἀδικίας.
Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐν- 26.
τὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα
γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.
CΛZ. ε. οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκρι- 27.
ταὶ, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις,
οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν
δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκα-
θαρσίας.
οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς 28.
ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑπο-
Τέλος τῆς γ. κρίσεως καὶ ἀνομίας. [Τέλος.]
CΛH. ε. [Ἀρχή.] οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρι- 29. ϚΖ.
σαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους
τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα
τῶν δικαίων,

καὶ

XXIII, 29. ϚΖ. τῇ δ. τῆς ια. [ἐν ἄλλοις· τῇ β. τῆς θ.] ἑβδ. καὶ τῇ ε. σεπτεμβρίου, τοῦ ἁγίου ζαχαρίου. ε. ὁ κ. [πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους] οὐαὶ ὑμῖν.

25. γέμουσιν ἐξ] ἐξ — E. v. P. Ἐξαρπαγὴ aeque non eſt graecum, ut κατήγωρ Apocal. XII, 10. v. Griesb. ll. ll.

ἀκρασίας] ἀδικίας. v. P. Chryſoſt. VII, 709. a. 779. b.

26. ἐκτὸς αὐτῶν] ἐκτὸς αὐτοῦ t αὐτῶν — E.

29. μνημεῖα] μνήματα. E. Ex hoc loco Orig. IV, 269. c. repetit argumenta pro interpretatione allegorica contra grammaticam ſeu criticam, ipſe, ut perhibent, auctor interpretationis grammaticae. Quis ei non invideat ingenium?

30. καὶ λέγετε· εἰ * ἤμεθα ἐν ταῖς ἡμέραις τῶν
πατέρων ἡμῶν, οὐκ ἂν * ἤμεθα κοινωνοὶ αὐ-
τῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

31. ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν
φονευσάντων τοὺς προφήτας.

32. καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέ- CΛΘ.
ρων ὑμῶν.

33. ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ
τῆς κρίσεως τῆς γεέννης;

34. διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς CM. ε.
προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ
ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ
ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς
ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν·

35. ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκ-
χυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος
Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχα-
ρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ
τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.

ἀμὴν

30. ἦμεν — ἦμεν] ἤμεθα — ἤμεθα. A.

32. πληρώσατε] ἐπληρώσατε. E. *Imperativum* vindicat Chrysost. VII, 670. d. 715. c. addens: οὐκ ἐπιτάττων, haec dixit, ἀλλὰ προαναφωνῶν. v. etiam Theophyl. p. 127. b. Euthym. Zigab. I. p. 891.

34. De confusionibus Chrysostomi v. P. et Chrysost. VII, 715. d. e. 716. c. 717. d. 490. c. A vero autem aberrat eo ipso tempore, quo de industria hunc locum explicat.

ἀμὴν λέγω ὑμῖν, * ὅτι ἥξει ταῦτα πάντα 36.
ἐπὶ τὴν γενεὰν ταύτην.
CMA. ε. ἱερουσαλὴμ, ἱερουσαλὴμ, ἡ * ἀποκτένουσα τοὺς 37.
προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσαλ-
μένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυν-
αγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει
ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας,
καὶ ὀυκ ἠθελήσατε;
ἰδοὺ, ἀφίεται ὑμῖν ὁ ὄικος ὑμῶν ἔρημος. 38.
Τέλος τῆς δ. λέγω γὰρ ὑμῖν· ὀυ μή με ἴδητε ἀπ᾽ ἄρτι, 39.
καὶ ἔν τισι, ἕως ἂν ἔιπητε· ἐυλογημένος ὁ ἐρχόμενος ἐν
τῆς μεγά- ὀνόματι κυρίου. [Τέλος.]
λης γ.
CMB. β. Καὶ ἐξελθὼν ὁ ἰησοῦς ἐπορέυετο ἀπὸ τοῦ ἱε- XXIV, 1.
ροῦ· καὶ [Ἀρχή.] προσῆλθον ὀι μαθηταὶ 5H.
αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς ὀικοδομὰς τοῦ
ἱεροῦ.
ὁ δὲ ἰησοῦς ἔιπεν αὐτοῖς· ὀυ βλέπετε * ταῦ- 2.
τα πάντα; ἀμὴν λέγω ὑμῖν, ὀυ μὴ ἀφεθῇ
ὧδε

XXIV, 1. 5H. σαββάτῳ ιε. τ. κ. ε. [ἐξελθὼν — καί.] προσῆλθον τῷ ἰησοῦ ὀι μαθηταί.

36. ἥξει] ὅτι ἥξει.
ταῦτα πάντα] πάντα ταῦτα. A. Fere ubique, etiam in ſcriptoribus graecis, Codices horum vocabulorum ordinem turbant.

37. ἀποκτείνουσα] ἀποκτένουσα.

XXIV, 1. ἐπορέυετο ἀπὸ τοῦ ἱεροῦ] ἀπὸ τοῦ ἱεροῦ ἐπορέυετο. E. v. P.
προσῆλθον] + αὐτῷ. E.

2. ὀυ βλέπετε] ὀυ — E. v. P.
πάντα ταῦτα] ταῦτα πάντα.

ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ * καταλυθήσεται. [Τέλος.] Τέλος ἔντισι τῆς ἁγίας καὶ μεγάλης γ. εἰς τὸν ὄρθρον.

ΝΖ. περὶ τῆς συντελείας.

ϚΗ. 3. [Ἀρχή.] καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους ΣΜΓ. β.
τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ
κατ' ἰδίαν, λέγοντες· εἰπὲ ἡμῖν, πότε ταῦτα
ἔσαι, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας,
καὶ τῆς συντελείας τοῦ αἰῶνος;
4. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτοῖς· βλέπετε μήτις ὑμᾶς πλανήσῃ.
5. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ἐγώ εἰμι ὁ χριςός· καὶ πολλοὺς πλανήσουσι.
6. μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων. ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι· ἀλλ' ὄυπω ἐςὶ τὸ τέλος.
7. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους.
8. πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. ΣΜΔ. α.
9. τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων * τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. [Ὑπέρβα.] Ὑπέρβα τοῦ καὶ σαββάτου.

XXIV, 3. ϚΗ. τῇ ἁγίᾳ καὶ μεγάλῃ β. εἰς τὴν λειτουργίαν· τ. κ. ἐ. καθημένου τοῦ ἰησοῦ ἐπὶ τοῦ ὄρους.
ὃς οὐ μὴ] μή —.
9. θλίψιν] θλίψεις. D.
πάντων ἐθνῶν] ἐθνῶν — E. t. πάντων τῶν ἐθνῶν. v. Birch. P.

CME. ι. καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλ- 10.
λήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλή-
λους.

καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, 11.
καὶ πλανήσουσι πολλούς.

καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυ- 12.
Ἀρξου τοῦ γήσεται ἡ ἀγάπη τῶν πολλῶν.
σαββάτου. [Ἄρξου.] [Ἀρχή.] ὁ δὲ ὑπομείνας εἰς τέλος, 13. ϛΘ.
Τέλος τοῦ οὗτος σωθήσεται. [Τέλος.]
σαββάτου.

CMϚ. ϛ. καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς 14.
βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον
πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος.

CMZ. ϛ. ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, 15.
τὸ ῥηθὲν διὰ δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν
τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω·

CMH. β. τότε οἱ ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ 16.
ὄρη·

ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραι * 17.
τὰ ἐκ τῆς οἰκίας αὐτοῦ.

καὶ

XXIV, 13. ϛΘ. τῇ ε. τῆς ια. [ἐν ἄλλοις· τῇ γ. τῆς θ.] ἑβδ. ε. ὁ κ. [τοῖς ἑαυτοῦ μαθηταῖς·] ὁ ὑπομείνας ... εἰς τέλος.

14. τοῦτο τὸ εὐαγγέλιον] τὸ εὐαγγέλιον τοῦτο. E. t τοῦ-το — D.

ἐν ὅλῃ τῇ οἰκουμένῃ] ἐν ὅλῳ τῷ κόσμῳ t ἐν πᾶσι τοῖς ἔθνεσιν. E. v. P.

15. ὅταν οὖν] ὅταν δέ. E.

ἑστὼς] ἑστός. Codd. non nulli et Mill.

16. ἐπὶ τὰ] εἰς τά. E.

17. ἆραί τι] ἆραι τά.

18. καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω
ἆραι τὰ ἱμάτια αὐτοῦ.

19. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θη- CNΘ. ε.
λαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

20. προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν CN. ε.
χειμῶνος, μηδὲ * σαββάτῳ.

21. ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐ γέγο- CNA. β.
νεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ
μὴ γένηται.

22. καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, CNB. γ.
οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλε-
κτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

23. τότε ἐάν τις ὑμῖν εἴπῃ· ἰδοὺ, ὧδε ὁ χριστὸς, CNΓ. β.
ἢ ὧδε· μὴ πιστεύσητε.

24. ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδο- CNΔ. ε.
προφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ
τέρατα· ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς
ἐκλεκτούς.

25. ἰδοὺ, προείρηκα ὑμῖν. CNE. ι.

26. ἐὰν οὖν εἴπωσιν ὑμῖν· ἰδοὺ, ἐν τῇ ἐρήμῳ ἐστὶ·
μὴ ἐξέλθητε· ἰδοὺ, ἐν τοῖς ταμείοις· μὴ πι-
στεύσητε.

P. 27. [Ἀρχή.] ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται CNS. ι.
ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν,
οὕτως

XXIV, 27. P. τῇ ϛ. τῆς ια. ἑβδ. ε. ὁ κ. τοῖς ἑαυτοῦ μα-
θηταῖς· ὥσπερ ἡ ἀστραπή.

18. ὀπίσω] + 1 εἰς τὰ ὀπίσω. E.

τὰ ἱμάτια] τὸ ἱμάτιον. D.

20. ἐν σαββάτῳ] σαββάτου E. 1 σαββάτῳ.

οὕτως ἔσαι καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

CNZ ι. [Ἀρχή.] ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συν- 28. P.
Τέλος τῆς ι. αχθήσονται οἱ ἀετοί. [Τέλος.]

CNH. β. εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκεί- 29.
νων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀσέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

CNΘ. β. καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ 30.
ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

καὶ ἀποσελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ 31.
σάλπιγγος φωνῆς μεγάλης· καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων

ἀνέ-

XXIV, 28. P. τῇ δ. τῆς θ. ἑβδ. ε. ὁ κ. ὅπου ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ.

27. καὶ ἡ] καὶ — E. Post ἔσαι facile excidit.

29. καὶ ἡ σελήνη — φέγγος αὐτῆς] — E. v. P. Chrysost. VII, 735. 736.

οἱ ἀσέρες — σαλευθήσονται] πάντα τὰ ἄσρα πεσεῖται καὶ ἑλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον, καὶ αἱ δυνάμεις αὐτῶν σαλευθήσονται. E. v. P. h. l. et ad Luc. p. 417.

30. πᾶσαι αἱ φυλαὶ τῆς γῆς] αἱ φυλαί. E. v. P. Chrysost. VII, 736. III, 504.

31. φωνῆς] —. ι καὶ φωνῆς. E.

ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐ-
τῶν.
32. ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν·
ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς,
καὶ τὰ φύλλα * ἐκφυῇ, γινώσκετε ὅτι ἐγ-
γὺς τὸ θέρος·
33. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε * ταῦτα πάντα,
γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. [Ὑπέρ- Ὑπέρβα [εἰς
βα.] [Τέλος.] τὸ] τῆς ς. Τέλος ἔν τισι
ΡΑ. 34. [Ἀρχή.] ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ τῆς δ. τῆς θ.
ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γέ-
νηται.
35. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λό-
γοι μου οὐ μὴ παρέλθωσι. [Τέλος.] Τέλος τῆς μεγάλης β.

ΝΗ. περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας.

ΡΒ. 36. [Ἀρχή.] περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ Cπ. ς.
* ὥρας

XXIV, 34. ΡΑ. σαββάτῳ ις. ε. ὁ κ. [τοῖς ἑαυτοῦ μαθη-ταῖς·] ἀμὴν λέγω.

XXIV, 36. ΡΒ. τῇ ἁγίᾳ καὶ μεγάλῃ γ. εἰς τὴν λειτουργίαν. ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας.

ἄκρων αὐτῶν] + ἀρχομένων δὲ τούτων γενέσθαι, ἀναβλέψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. E. v. Wetst. Griesb. P.

32. ἐκφύῃ] ἐκφυῇ. Arbor dicitur φύειν et ἐκφύειν φύλλα, ὄζους. Homer. Il. α. 234. Sed τὰ φύλλα dicuntur etiam ἐκφύεσθαι, ἐκφυῆναι. Pro ἐκφυῇ ſunt quatuor mei vetuſtiſſimi et praeſtantiſſimi et multi alii mei et aliorum Codices. Accedit h. l. graecitas et elegantia.

33. πάντα ταῦτα] ταῦτα πάντα.

34. πάντα ταῦτα] ταῦτα πάντα. D.

35. παρελεύσονται] παρελεύσεται. E.

* ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐ-
ρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.

CΞA. ι. ὥσπερ δὲ αἱ ἡμέραι τοῦ νῶε, οὕτως ἔσται καὶ 37.
Ὑπέρβα τοῦ σαββάτου. ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [Ὑπέρ-
βα.]

ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ 38.
τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες,
γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέ-
ρας εἰσῆλθε νῶε εἰς τὴν κιβωτὸν,

Ἐντεῦθεν ὑπερβαίνει τινα τὸ τοῦ σαββάτου. καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν ὁ κατακλυσμὸς, 39.
καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρου-
σία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [Ὑπέρβα.]

CΞB. ι. τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παρα- 40.
λαμβάνεται, καὶ ὁ εἷς ἀφίεται.

δύο ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμ- 41.
βάνεται, καὶ μία ἀφίεται.

[Ἀρ-

36. τῆς ὥρας] τῆς —. De hoc loco v. Baſil. M. III, 361. ſeqq. edit. Garn. qui haec cum Marco comparat.

οὐρανῶν] + οὐδὲ ὁ υἱός. E. v. Griesb. P.

μου μόνος] μου — t μου μόνος — E. v. P. In edito Chryſoſt. VII, 741. d. eſt: εἰ μὴ μόνος ὁ πατήρ.

38. ταῖς πρὸ] — E. Cyrill. V. a. 220. miscet haec cum Luc. 17, 27. De confuſionibus Chryſoſt. v. P. ad verſ. 37. 38.

41. μύλωνι] μύλῳ. E. v. P.

ἀφίεται] + δύο ἐπὶ κλίνης μιᾶς· εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. E. v Griesb. P. Cum Lucae verbis etiam permiscet Chryſoſt. II, 455.

ΡΓ. 42. [Ἄρξου.] [Ἀρχή.] γρηγορεῖτε οὖν, ὅτι οὐκ CΞΓ. ϛ.
οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. Ἄρξου τῆς
43. ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπό- ϛ. καὶ τοῦ CΞΔ. β.
της ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρη- σαββάτου.
γόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν
οἰκίαν αὐτοῦ.
44. διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ
ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχε-
ται. [Τέλος.] Τέλος τοῦ σαββάτου.
ΡΓ. 45. [Ἀρχή.] τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ CΞΕ. ε.
φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ
τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν
τροφὴν ἐν καιρῷ;
46. μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος CΞϚ. ε.
αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.
47. ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρ-
χουσιν αὐτοῦ καταστήσει αὐτόν. [Τέλος.] Τέλος τοῦ ἁγίου.
48. ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ CΞΖ. ε.
καρδίᾳ αὐτοῦ· χρονίζει ὁ κύριός μου ἐλθεῖν.

καὶ

XXIV. 42. ΡΓ. σεπτεμβρίου λ. τοῦ ἁγίου ἱερομάρτυρος γρηγορίου, τῆς μεγάλης ἀρμενίας· ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· γρηγορεῖτε.

XXIV, 45. ΡΓ. τῇ ε. τῆς θ. ἑβδ. ἑ. ὁ κ. τίς ἐστιν ἄρα ὁ πιστὸς δοῦλος.

42. ποίᾳ ὥρᾳ] ποίᾳ ἡμέρᾳ t ποίαν ὥραν. E. Cyrill. IV, 293. Servat Chrysost. vulgatum VII, 743. sed 744. de suo habet ἡμέρᾳ.

45. κατέστησεν] καταστήσει. E.
θεραπείας] οἰκίας t οἰκετίας. E. v. P. Οἰκετία habet Epictet. cap. 46.
τοῦ διδόναι] τοῦ — t τοῦ δοῦναι. E.
καιρῷ] + αὐτῶν. E.

κὴ ἄρξηται τύπτειν τοὺς συνδούλους.* ἐσθίῃ 49.
δὲ κὴ πίνῃ μετὰ τῶν μεθυόντων·
ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ 50.
ὀυ προσδοκᾷ, κὴ ἐν ὥρᾳ ᾗ ὀυ γινώσκει·
κὴ διχοτομήσει αὐτὸν, κὴ τὸ μέρος αὐτοῦ 51.
μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔςαι ὁ
Τέλος τῆς ϛ. καὶ ἔν τισι τῆς ι. τῆς θ. κλαυθμὸς κὴ ὁ βρυγμὸς τῶν ὀδόντων. [Τέ-
λος.]

ΝΘ. περὶ τῶν δέκα παρθένων.

CΞΗ. ι. Τότε [Ἀρχή.] ὁμοιωθήσεται ἡ βασιλεία τῶν XXV, 1.
ὀυρανῶν δέκα παρθένοις, ἄιτινες λαβοῦσαι ΡΔ.
τὰς λαμπάδας αὐτῶν ἐξῆλθον ἐις ἀπάντη-
σιν τοῦ νυμφίου.
πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, κὴ αἱ 2.
πέντε μωραί.

ἄιτι-

XXV, 1. ΡΔ. σαββάτῳ ιζ. καὶ τῆς ἁγίας θέκλης. [ἐν ἄλλοις· τῇ ϛ. τῆς θ.] ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ὡμοιώθη [τότε ὁμοιωθήσεται] ἡ βασιλεία τῶν ὀυρανῶν.

49. συνδούλους] + αὐτοῦ. D.
ἐσθίειν δὲ καὶ πίνειν] ἐσθίῃ δὲ καὶ πίνῃ.

50. ἥξει]. Inter ἥξει et ἐλεύσεται optionem dat Chryſ. VII, 746. a. c.

XXV, 1. τοῦ νυμφίου] + καὶ τῆς νύμφης. E. v. Griesb. Beng. P. Miror, cur non etiam addiderint: καὶ πάσης τῆς συγγενείας αὐτῶν. Cur vero verſu 6. non ſcripſerunt: ὁ νυμφίος καὶ ἡ νύμφη μετὰ πάσης τῆς φαντασίας αὐτῶν ἔρχονται;

2. καὶ αἱ] αἱ — E. αἱ, id eſt, αἱ λοιπαὶ πέντε. αἱ, poſt καὶ, facile excidit. v. Chryſoſt. VII, 750. d. Pleraeque editiones, ad quas examinati ſunt Codices, αἱ in textu habent. Ergo ex Codicibus, qui illud

αἱ

3. αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας * αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον·

4. αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.

5. χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον.

6. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.

7. τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.

8. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ὑμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.

9. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς.

ἀπερ-

αι habebant, nihil notabatur. Confusioni occasionem praebebat etiam duplex πέντε. Quin ipse Wetst. h. l. de priori πέντε monet post posterius. v. Alter. Birch. Leve hoc. Novi. Sed critico non debet esse leve.

3. λαμπάδας ἑαυτῶν] λαμπάδας αὐτῶν.

5. χρονίζοντος] βραδύνοντος. E. Cyrill. IV, 293.

6. ἔρχεται] — E. Cyrill. l. l.

ἀπάντησιν αὐτοῦ] ὑπάντησιν. Cyrill. l. l.

9. οὐκ ἀρκέσῃ] οὐ μὴ ἀρκέσῃ t οὐκ ἀρκέσει. D. Duo hic concurrunt ἀναγνώσματα ecclesiastica. Sed Beng. ex uno tantum hic notavit varietatem Cod. Aug. 4.

δὲ μᾶλλον] — E. Chrysost. VII, 752. c.

ἑαυταῖς] — E.

ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ 10.
νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ
εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.

ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, 11.
λέγουσαι· κύριε, κύριε, ἄνοιξον ἡμῖν.

ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ 12.
οἶδα ὑμᾶς.

γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν 13.
Τέλος τοῦ σαββάτου καὶ τῆς ἁγίας. οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρ-
χεται. [Τέλος.]

Ξ. περὶ τῶν τὰ τάλαντα λαβόντων.

CΞΘ. β. ὥσπερ γὰρ [Ἀρχή.] ἄνθρωπος ἀποδημῶν 14. ΡΕ.
νς | ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν
αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ·

CΟ. ε. καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, 15.
ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ
ἀπεδήμησεν εὐθέως.

πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, 16.
εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα
πέντε τάλαντα.

ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς 17.
ἄλλα δύο.

ὁ

XXV, 14. ΡΕ. κυριακῇ ιϛ. ἑ. ὁ κ. τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἀποδημῶν.

13. ἐν ᾗ — ἔρχεται] — E. v. P.

14. ἄνθρωπος] + τις. E. v. P.

16. ἐποίησεν] ἐκέρδησεν. E. Ex verſ. 17. v. P. et Graev. ad Heliod. ἔργ. v. 602.

18. ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ
γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου
αὐτοῦ.

19. μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν
δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λό-
γον.

20. καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν,
προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων·
κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε,
ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς.

21. ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγα-
θὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολ-
λῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν
τοῦ κυρίου σου.

22. προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λα-
βὼν, εἶπε· κύριε, δύο τάλαντά μοι παρέδω-
κας· ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ'
αὐτοῖς.

23. ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ. εὖ, δοῦλε ἀγαθὲ
καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν
σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ
κυρίου σου.

24. προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰλη-
φὼς, εἶπε· κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ
ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ
συνάγων ὅθεν οὐ διεσκόρπισας·

καὶ

18. ἀπέκρυψε] ἔκρυψε. E. Forte ex verſ. 25.

21. ἔφη δὲ] δὲ — A.

καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαν- 25.
τόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.

ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· 26.
πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω
ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διε-
σκόρπισα·

ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τρα- 27.
πεζίταις· καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ
ἐμὸν σὺν τόκῳ·

ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον, καὶ δό- 28.
τε τῷ ἔχοντι τὰ δέκα τάλαντα.

COA. β. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισ- 29.
σευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ
ἔχει, ἀρθήσεται ἀπ᾽ αὐτοῦ. [Τέλος.]

COB. ε. καὶ τὸν ἀχρεῖον δοῦλον * ἐκβάλετε εἰς τὸ 30.
σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσαι ὁ κλαυθμὸς
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. [Τέλος.]

Τέλος ἔν τισι τῆς ις. κυριακῆς.

πρόσκειται δὲ μετὰ τὸ, ἀπ᾽ αὐτοῦ· ταῦτα λέγων ἐφώνει, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, ἢ καί· ὁ ἔχων κ. τ. λ.

Τέλος τῆς κυριακῆς.

πρόσκειται δὲ ἔν τισι· ταῦτα λέγων ἐφώνει.

ΣΑ. πε-

27. βαλεῖν — τοῖς τραπεζίταις] καταβαλεῖν — ἐπὶ τοὺς τραπεζίτας. E. v. P. Ex hoc loco fictum arbitrantur, γίνεσθε τραπεζῖται δόκιμοι seu φρόνιμοι. v. Chryfoft. III, 82. e. ubi ftatim fubiicit 1 Theff. V, 21. Dionyf. Alex. apud Georgium Syncellum. pag. 379. id appellat ἀποστολικὴν φωνήν. v. Cyrill. II, 56. e. VI, a. 2. qui tamen id Paulo tribuit Impoftores ergo hoc inferre debebant 1 Theff. V, 21.

30. ἐκβάλλετε] ἐκβάλετε.

ὀδόντων] de appendice evangeliariorum monitum eft h. l. v. P. ad Marc. p. 287. ubi de Cod. Gebliano dictum eft.

ΣΑ. περὶ τῆς ἐλεύσεως τοῦ χριστοῦ.

ΡЗ. 31. [Ἀρχή.] ὅταν δὲ ἔλθη ὁ υἱὸς τοῦ ἀνθρώ- Cor. ι.
που ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι
ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρό-
νου δόξης αὐτοῦ.

32. καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα
τὰ ἔθνη· καὶ ἀφοριεῖ αὐτοὺς ἀπ᾽ ἀλλήλων,
ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ
τῶν ἐρίφων.

33. καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ,
τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.

34. τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ·
δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κλη-
ρονομήσατε τὴν ἡτοιμασμένην βασιλείαν ἀπὸ
καταβολῆς κόσμου.

35. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδί-
ψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ
συνηγάγετέ με.

36. γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ
ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλ-
θετε πρός με.

37. τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγον-
τες· κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ
ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν;

πότε

XXV, 31. ΡЗ. κυριακῇ τῆς ἀπόκρεω· ἱ. ὁ κ. ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ.

31. ἅγιοι] — D.
καθίσει] καθεδεῖται. E. Chryſoſt. VII, 758. b.

32. συναχθήσεται] συναχθήσονται. D.

34. ἀπὸ καταβολῆς] πρὸ καταβολῆς. E.

πότε δέ σε ἔιδομεν ξένον, καὶ συνηγάγομεν; 38.
ἢ γυμνὸν, καὶ περιεβάλομεν;
πότε δέ σε ἔιδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, 39.
καὶ ἤλθομεν πρός σε;
καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ ἀυτοῖς· ἀμὴν 40.
λέγω ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων
τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποι-
ήσατε.
τότε ἐρεῖ καὶ τοῖς ἐξ ἐυωνύμων· πορέυεσθε 41.
ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι ἐις τὸ πῦρ τὸ αἰώ-
νιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς
ἀγγέλοις ἀυτοῦ.
ἐπείνασα γὰρ, καὶ ὀυκ ἐδώκατέ μοι φαγεῖν· 42.
ἐδίψησα, καὶ ὀυκ ἐποτίσατέ με·
ξένος ἤμην, καὶ ὀυ συνηγάγετέ με· γυμνὸς, 43.
καὶ ὀυ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυ-
λακῇ, καὶ ὀυκ ἐπεσκέψασθέ με.
τότε ἀποκριθήσονται * καὶ αὐτοὶ, λέγοντες· 44.
κύριε, πότε σε ἔιδομεν πεινῶντα, ἢ διψῶντα,
ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ,
καὶ ὀυ διηκονήσαμέν σοι;
τότε ἀποκριθήσεται ἀυτοῖς, λέγων· ἀμὴν λέ- 45.
γω ὑμῖν, ἐφ᾽ ὅσον ὀυκ ἐποιήσατε ἑνὶ τούτων
τῶν ἐλαχίστων, ὀυδὲ ἐμοὶ ἐποιήσατε.

καὶ

38. — E. v. P.
41. τὸ ἡτοιμασμένον] ὃ ἡτοίμασεν ὁ πατήρ μου. E. Ἀλλὰ ταῦτα ἄντικρυς βλάσφημα.
44. ἀυτῷ καὶ] ἀυτῷ —.
45. τούτων + τῶν ἀδελφῶν μου. E. Chryfoft. VII, 759. b. ibique adeo explicat ἀδελφοί. Sed fine iftis laudat VII, 401. v. Wetft. P.

46. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον·
οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. [Τέλος.] Τέλος τῆς κυριακῆς.
XXVI, 1. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς πάντας ΣΟΔ. α.
τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς
αὐτοῦ·
ΡΖ. 2. [Ἀρχή.] οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ
πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδίδοται εἰς τὸ ςαυρωθῆναι. [Τέλος.] Τέλος τῆς μεγάλης γ.
3. τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμ- ΣΟΕ. γ.
ματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν
αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου καϊάφα,
4. καὶ συνεβουλεύσαντο ἵνα τὸν ἰησοῦν * δόλῳ
κρατήσωσι, καὶ ἀποκτείνωσιν.
5. ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος
γένηται ἐν τῷ λαῷ. [Τέλος.] Τέλος ἔν τισι τῆς μεγάλης γ.

ΞΒ. περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.

ΡΗ. 6. [Ἀρχή.] τοῦ δὲ ἰησοῦ γενομένου ἐν βηθανίᾳ ΣΟΖ. α.
ἐν οἰκίᾳ σίμωνος τοῦ λεπροῦ,
7. προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαςρον μύρου
ἔχου-

XXVI, 2. ΡΖ. τῇ ἁγίᾳ καὶ μεγάλῃ γ. εἰς τὴν λειτουργίαν· εἶ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· οἴδατε ὅτι μετὰ δύο ἡμέρας.

XXVI, 6. ΡΗ. τῇ ἁγίᾳ καὶ μεγάλῃ δ. εἰς τὴν λειτουργίαν· τοῦ ἰησοῦ γενομένου ἐν βηθανίᾳ.

XXVI, 3. καὶ οἱ γραμματεῖς] — E.

εἰς τὴν αὐλὴν] ἐν τῇ αὐλῇ. E. Chrysost. VII, 761. c.

4. συνεβουλεύσαντο] συνεβουλεύοντο. E.

κρατήσωσι δόλῳ] δόλῳ κρατήσωσι.

6. λεπροῦ] λεπρώσου. E. v. Wetst. Griesb. P.

ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ ἀνακειμένου·
ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, 8.
λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη;
ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολ- 9.
λοῦ, καὶ δοθῆναι πτωχοῖς.
γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· τί κόπους 10.
παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰρ-
γάσατο εἰς ἐμέ.
* τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' 11.
ἑαυτῶν· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.
COZ. δ. βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ 12.
σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποί-
ησεν.

ἀμὴν

7. βαρυτίμου] πολυτίμου. E. v. P.
κατέχεεν ἐπὶ τὴν κεφαλὴν] ἐξέχεεν ἐπὶ τῆς κεφαλῆς. E. Chryſoſt. VII, 765. E. v. P. Καταχέειν graecum quidem eſt atque adeo Demoſthenicum: hoc tamen loco Demoſthenes eo non uſurus fuiſſet. Ἄγαν γὰρ ἐνταῦθα ἰδιωτικόν.

9. τὸ μύρον] — v. P.
πτωχοῖς] τοῖς πτωχοῖς. D.

[ν. 11. — E. [Tres Codd. Weſt. hic de principatu contendunt cum quatuor eiusdem aliis. v. XXV, 38.
πάντοτε γὰρ τοὺς πτωχοὺς] τοὺς πτωχοὺς γὰρ πάντοτε. Ita plures Codd. quos poſt priorem editionem meam examinavi. In his Aug. 4. bis. Bis ergo bonus Bengelius ἐνύσταξεν. In duobus enim ἀναγνώσμασιν occurrit fol. 146. 151. Ita quoque eſt in evangeliario Gothano fol. 149. 153. Velim ſcire, quoties et quoto folio haec legantur in evangeliariis Wetſtenii, Griesbachii, Birchii etc. Scilicet hoc eſt examinare Codices!

13. ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ ἐυαγ-
γέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσε-
ται καὶ ὃ ἐποίησεν ἅυτη, ἐις μνημόσυνον αὐ-
τῆς.

14. τότε πορευθεὶς ἓις τῶν δώδεκα, ὁ λεγόμενος ΣΟΘ. β.
ἰούδας ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς,

15. ἔιπε· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν πα-
ραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκον-
τα ἀργύρια.

16. καὶ ἀπὸ τότε ἐζήτει ἐυκαιρίαν ἵνα αὐτὸν πα-
ραδῷ. [Τέλος.] Τέλος τῆς μεγάλης δ.

ΞΓ. περὶ τῆς ἑτοιμασίας τοῦ πάσχα.

17. τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μα-
θηταὶ τῷ ἰησοῦ, λέγοντες αὐτῷ· ποῦ θέλεις
ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;

18. ὁ δὲ ἔιπεν· ὑπάγετε ἐις τὴν πόλιν πρὸς τὸν
δεῖνα, καὶ ἔιπατε αὐτῷ· ὁ διδάσκαλος λέ-
γει· ὁ καιρός μου ἐγγύς ἐστιν, πρός σε ποιῶ
τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.

19. καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐ- Ὑπάντα ἐις
τοῖς ὁ ἰησοῦς· καὶ ἡτοίμασαν τὸ πάσχα. τὸ κατὰ ἰω-
ἀννην ἐν κε-

20. ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδε- φαλαίῳ μδ.
κα. [Ὑπάντα.] ἐὼς τοῦ, ἐὰν
ποιῆτε αὐ-
[Ἄρ- τὰ, ἔιτα ἄρ-
ξου ἐνταῦ-
θα.

15. κἀγὼ] καὶ ἐγώ. A.
ἀργύρια] ἀργυρᾶ ι στατῆρας ι στατῆρας ἀργυρίου. E.
v. P.

16. λέγοντες αὐτῷ] αὐτῷ — E.

17. ἑτοιμάσωμεν] ἑτοιμάσομεν. A. In his, dissentienti-
bus Codd. dubia est crisis in N. T.

ΣΟΘ. δ. [Ἄρξου.] καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· ἀμὴν 21.
λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.
ΣΠ. α. καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐ- 22.
τῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι, κύριε;
ΣΠΑ. β. ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ὁ ἐμβάψας μετ' 23.
ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με
παραδώσει.
ΣΠΒ. γ. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέ- 24.
γραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ
ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδο-
ται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄν-
θρωπος ἐκεῖνος.
ΣΠΓ. ι. ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, 25.
εἶπε· μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ· σὺ
εἶπας.

ΞΔ. περὶ τοῦ μυστικοῦ δείπνου.

ΣΠΔ. α. ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρ- 26.
τον, καὶ * εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου
τοῖς μαθηταῖς, καὶ εἶπε· λάβετε, φάγετε·
τοῦτό ἐστι τὸ σῶμά μου.
ΣΠΕ. β. καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, 27.
ἔδωκεν αὐτοῖς, λέγων· πίετε ἐξ αὐτοῦ πάν-
τες·
τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς 28.
διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς
ἄφεσιν ἁμαρτιῶν.

λέγω

26. εὐλογήσας] εὐχαριστήσας. v. Euth. III, 249.
27. πίετε] λάβετε, πίετε. E. Cyrill. IV, 360.

29. λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ᾽ ἄρτι ἐκ
τούτου τοῦ * γενήματος τῆς ἀμπέλου, ἕως
τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ᾽
ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός
μου.

30. καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν Cπ5. ς.
ἐλαιῶν.

31. τότε λέγει αὐτοῖς ὁ ἰησοῦς· πάντες ὑμεῖς Cπz. δ.
σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ·
γέγραπται γάρ· πατάξω τὸν ποιμένα, καὶ
διασκορπισθήσεται τὰ πρόβατα τῆς ποί-
μνης.

32. μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς Cπη. ς.
τὴν γαλιλαίαν.

33. ἀποκριθεὶς δὲ ὁ πέτρος, εἶπεν αὐτῷ· εἰ * πάν- Cπθ. α.
τες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ * δὲ οὐδέ-
ποτε σκανδαλισθήσομαι.

34. ἔφη αὐτῷ ὁ ἰησοῦς· ἀμὴν λέγω σοι, ὅτι ἐν
ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι,
τρὶς ἀπαρνήσῃ με.

35. λέγει αὐτῷ ὁ πέτρος· κἂν δέῃ με σὺν σοὶ C5. ς,
ἀπο-

29. γεννήματος] γενήματος. De hominibus et ceteris animalibus reperi γέννημα, de frugibus et proventibus agrorum conſtanter in optimis Codd. N. et V. Teſt. γένημα. Sic eſt etiam ἀπογένημα, ἐπιγένημα, pro quo ſcriptoribus graecis etiam obtruſum eſt ἐπιγέννημα.

33. εἰ καὶ] καὶ —.

ἐγὼ] + δὲ. A.

ἀποθανεῖν, ὀυ μή σε * ἀπαρνήσωμαι· ὁμοίως *
δὲ καὶ πάντες ὁι μαθηταὶ ἔιπον.
CϛΑ. α. τότε ἔρχεται μετ' αὐτῶν ὁ ἰησοῦς ἐις χωρίον 36.
λεγόμενον γεθσημανῆ, καὶ λέγει τοῖς μαθη-
ταῖς· καθίσατε ἀυτοῦ, ἕως ὄυ ἀπελθὼν προσ-
εύξωμαι ἐκεῖ.
CϛΒ. ς. καὶ παραλαβὼν τὸν πέτρον καὶ τοὺς δύο 37.
υἱοὺς ζεβεδαίου, ἤρξατο λυπεῖσθαι. καὶ ἀδη-
μονεῖν.
CϛΓ. δ. τότε λέγει αὐτοῖς * ὁ ἰησοῦς· περίλυπός ἐςιν 38.
ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ
γρηγορεῖτε μετ' ἐμοῦ.
CϛΔ. α. καὶ * προσελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσ- 39.
CϛΕ. α. ωπον αὐτοῦ προσευχόμενος, καὶ λέγων· πά-
τερ μου, ἐι δυνατόν ἐςι, παρελθέτω ἀπ'
ἐμοῦ

35. ἀπαρνήσομαι] ἀπαρνήσωμαι. A.
ὁμοίως] + δὲ.
36. γεθσημανῆ] γεθσημανεὶ ł γεθσαμανεὶ ł γεθσιμανὶ ł γεσσημανεῖ. Plerique ſervant vulgatum. v. Wetſt.
προσεύξωμαι] προσεύξομαι. D.
38 αὐτοῖς] + ὁ ἰησοῦς.
39. προελθὼν] προσελθών. v. P. Poſt meam priorem editionem ex multis Codd. hoc notarunt Alter et Birch. Ipſe quoque poſtea inveni in pluribus. In Aug. 4. vetuſtiſſimo eſt in fine verſus προ et in principio verſus proximi ΣελθὼΝ. Illud Σ, quod fere ſimile eſt latino C, auro ſcriptum eſt. Obiter autem discitur, quod ex aliis etiam Codd. notum eſt, (v. P. ad 28, 2.) ſaepe vocabula in media ſyllaba dividi, maxime in Codd. litteris maiuſculis ſcriptis, cuiusmodi eſt Aug. 4. Marci 14, 35. in hoc evang. non legitur. Sed nec in Gothano, quod ipſum etiam priori loco habet προσελθών.

ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ Ὑπάντα εἰς
θέλω, ἀλλ᾽ ὡς σύ. [Ὑπάντα.] τὸ κατάλουκαν ἐν κεφα-
40. καὶ [Ἄρξου.] ἔρχεται πρὸς τοὺς μαθητὰς, CϛΞ. β.
καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει λαίῳ ἑδ. καὶ
τῷ πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν πάλιν ἄρξου
γρηγορῆσαι μετ᾽ αὐτοῦ; ἐνταῦθα.
41. γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλ- CϛΖ. δ.
θητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυ-
μον, ἡ δὲ σὰρξ ἀσθενής.
42. πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέ- CϛΗ. ϛ.
γων· πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ πο-
τήριον παρελθεῖν ἀπ᾽ ἐμοῦ, ἐὰν μὴ αὐτὸ
πίω, γενηθήτω τὸ θέλημά σου.
43. καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδον-
τας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρη-
μένοι.

καὶ

ὡς σύ.] Post haec continuo transeunt evangeliaria ad Luc. [22, 43 — 45. Dudum de hoc monui in P. ad h. l. et ad Marc. pag. 287. In *nullo* evangeliario aliter reperitur. Mirabile autem est, de hoc transitu (ὑπερβάσει) monitum esse ab editoribus, de aliis autem altum apud eos esse silentium. Cognosci ergo possunt ex hac editione.

40. πέτρῳ· οὕτως] πέτρῳ οὕτως· E. v. Euth. 125. οὕτως meliores Codd. referunt ad proximam interrogationem. Igitur etiam nonnulli statim post οὕτως signum interrogandi habent, quod tamen non est necessarium.

41. ἵνα μὴ εἰσέλθητε] μὴ εἰσελθεῖν t μὴ ἐμπεσεῖν. E. v. Chrysost. VII, 791. a. d.

43. εὑρίσκει] εὗρεν. E. v. P. Chrysost. VII, 792. a.

καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύ- 44.
ξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.

Cϛθ. δ. τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ 45.
λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν καὶ ἀνα-
παύεσθε· ἰδοὺ, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρ-
τωλῶν.

Τ. α. ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, ἤγγικεν ὁ παραδι- 46.
δούς με.

ΞΕ. περὶ τῆς παραδόσεως τοῦ Ἰησοῦ.

καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας εἷς τῶν 47.
δώδεκα ἦλθε, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς
μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιε-
ρέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.

ΤΑ. β. ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, 48.
λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε
αὐτόν.

καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· χαῖ- 49.
ρε ῥαββί· καὶ κατεφίλησεν αὐτόν.

ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ᾽ * ὃ πάρει; 50.
τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας
* ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.

ΤΒ. α. καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν 51.
χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ· καὶ
πατά-

48. ὃς ἂν] ὃς ἐάν. A.
50. ἐφ᾽ ᾧ] ἐφ᾽ ὁ. A. v. P.
ἐπ᾽ Ἰησοῦν] ἐπὶ τὸν Ἰησοῦν. In Oxonienfi edit. 1675. erat ἐπὶ Ἰησοῦν. Inde fecit Gregorius ἐπ᾽ Ἰησοῦν.

πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖ-
λεν αὐτοῦ τὸ ὠτίον.

52. τότε λέγει αὐτῷ ὁ ἰησοῦς· ἀπόστρεψόν σου ΤΓ. ι.
τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες
γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ
* ἀποθανοῦνται.

53. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι
τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους
ἢ δώδεκα λεγεῶνας ἀγγέλων;

54. πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω
δεῖ γενέσθαι;

55. ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ ἰησοῦς τοῖς ὄχλοις· ΤΔ. α.
ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ
ξύλων συλλαβεῖν με· καθ᾽ ἡμέραν πρὸς
ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ
οὐκ ἐκρατήσατέ με.

56. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ ΤΕ. ε.
γραφαὶ τῶν προφητῶν· τότε οἱ μαθηταὶ
πάντες, ἀφέντες αὐτὸν, ἔφυγον.

ΡΘ. 57. [Ἀρχή.] οἱ δὲ, κρατήσαντες τὸν ἰησοῦν, ἀπή- ΤΣ. α.
γαγον πρὸς καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ
γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθη-
σαν.

ΤΣ. πι-

XXVI, 57. ΡΘ. εὐαγγέλιον γ. τῶν ἁγίων παθῶν· τ. κ. ἑ. οἱ στρατιῶται κρατήσαντες.

52. ἀπολοῦνται] ἀποθανοῦνται. v. P.

ΞϚ. περὶ τῆς ἀρνήσεως πέτρου.

ΤΖ. δ. ὁ δὲ πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, 58.
ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως· καὶ εἰσελθὼν
ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ
τέλος.

ΤΗ. β. οἱ δὲ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ τὸ 59.
συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ
τοῦ ἰησοῦ, ὅπως * θανατώσωσιν αὐτόν·
καὶ οὐχ εὗρον. καὶ πολλῶν ψευδομαρτύρων 60.
προσελθόντων, οὐχ εὗρον. ὕστερον δὲ προσελ-
θόντες δύο ψευδομάρτυρες,

ΤΘ. ϛ. εἶπον· οὗτος ἔφη· δύναμαι καταλῦσαι τὸν 61.
ναὸν τοῦ θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδο-
μῆσαι αὐτόν.
καὶ ἀναστὰς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ· οὐδὲν 62.
ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν;
ὁ δὲ ἰησοῦς ἐσιώπα. καὶ ἀποκριθεὶς ὁ ἀρχιε- 63.
ρεὺς, εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ θεοῦ
τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ χριστὸς,
ὁ υἱὸς τοῦ θεοῦ.

ΤΙ. α. λέγει αὐτῷ ὁ ἰησοῦς· σὺ εἶπας· πλὴν λέγω 64.
ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώ-
που καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ
ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

τότε

59. αὐτὸν θανατώσωσι] θανατώσουσιν αὐτόν.

60. καὶ οὐχ εὗρον — οὐχ εὗρον] καὶ οὐχ εὗρον πολλῶν προσελθόντων ψευδομαρτύρων. E. v. P. ad hunc versum bis.

65. τότε ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, ΤΙΑ. γ.
λέγων· ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ.

66. τί ὑμῖν δοκεῖ; οἱ δὲ ἀποκριθέντες, εἶπον· ἔνο- ΤΙΒ. β.
χος θανάτου ἐστί.

67. τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ΤΙΓ. α.
ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐῤῥάπισαν,

68. λέγοντες· προφήτευσον ἡμῖν χριστὲ, τίς ἐστιν ΤΙΔ. α.
ὁ παίσας σε;

69. ὁ δὲ πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· καὶ σὺ ἦσθα μετὰ ἰησοῦ τοῦ γαλιλαίου.

70. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν * αὐτῶν πάντων, λέγων· οὐκ οἶδα τί λέγεις.

71. ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν ΤΙΒ. α.
αὐτὸν ἄλλη, καὶ λέγει * αὐτοῖς· ἐκεῖ καὶ οὗτος ἦν μετὰ ἰησοῦ τοῦ ναζωραίου.

72. καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου· ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.

73. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ.

τότε

65. διέῤῥηξε — ἐβλασφήμησε] περιέῤῥηξε τὴν ἐσθῆτα, λέγων· ἐδυσφήμησε. B. v. Euth. 148. Cyrill. III, 496. a.

70. πάντων] αὐτῶν πάντων.

71. τοῖς ἐκεῖ] αὐτοῖς· ἐκεῖ.

τότε ἤρξατο * καταθεματίζειν καὶ ὀμνύειν· 74.
ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. καὶ εὐθέως ἀλέ-
κτωρ ἐφώνησε.

ΤΙΕ. β. καὶ ἐμνήσθη ὁ πέτρος τοῦ ῥήματος * ἰησοῦ, 75.
εἰρηκότος αὐτῷ· ὅτι πρὶν ἀλέκτορα φωνῆσαι,
τρὶς ἀπαρνήσῃ με. καὶ ἐξελθὼν ἔξω, ἔκλαυ-
Τέλος τοῦ γ. ἐυαγγελίου. σε πικρῶς. [Τέλος.]

ΤΙΖ. β. Πρωΐας δὲ γενομένης, [Ἀρχή.] συμβούλιον XXVII, 1.
ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύ- ΡΙ.
τεροι τοῦ λαοῦ κατὰ τοῦ ἰησοῦ, ὥστε θανα-
τῶσαι αὐτόν.

ΤΙΗ. α. καὶ δήσαντες αὐτὸν, ἀπήγαγον καὶ παρέ- 2.
δωκαν αὐτὸν ποντίῳ πιλάτῳ τῷ ἡγεμόνι.
Τέλος τῆς μεγάλης ε. [Τέλος.]

ΞΖ. περὶ τῆς ἰούδα μεταμελείας.

ΤΙΘ. ι. τότε [Ἀρχή.] ἰδὼν ἰούδας ὁ παραδιδοὺς αὐ- 3. ΡΙΑ.
τὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρεψε
τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ
τοῖς πρεσβυτέροις,

λέγων·

XXVII, 1. ΡΙ. τῇ μεγάλῃ ϛ. ἑσπέρας καὶ τῇ α. ὥρᾳ· τ. κ. ἐ. συμβούλιον ἔλαβον.

XXVII, 3. ΡΙΑ. ἐυαγγέλιον ε. τῶν ἁγίων παθῶν· [ἐν ἄλλῳ· καὶ τῆς α. ὥρας.] τ. κ. ἐ. ἰδὼν ἰούδας ὁ παραδιδοὺς τὸν ἰησοῦν ὅτι κατεκρίθη.

74. καταναθεματίζειν] καταθεματίζειν. v. P. Tamen iſtud editur apud Theophylact. et Chryſoſt. VII, 804. e. IX, 42. c. Matthaei καταθεματίζων et Marci ἀναθεματίζειν copularunt.

75. τοῦ ἰησοῦ] τοῦ —.

XXVII, 2. ποντίῳ] — E.

3. ἀπέστρεψε] ἔστρεψε t ἀπέῤῥιψε. v. verſ. 5. E.
καὶ τοῖς πρεσβυτέροις] τοῖς — D.

4. λέγων· ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον. οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει.

5. καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε· καὶ ἀπελθὼν, ἀπήγξατο.

6. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι.

7. συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις.

8. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον.

9. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ ἱερεμίου τοῦ προφήτου, λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν ἰσραήλ.

καὶ

4. ἀθῷον] δίκαιον. E. Scilicet ἀθῷος apud graecos est, *cui non nocetur, qui non laeditur*, non, *innocens, innoxius*. Sed nec αἷμα δίκαιον graecum est.
ὄψει] ὄψῃ, Codices aliqui v. Wetst.

5. ἀπελθὼν ἀπήγξατο] v. P. Apud Oenomaum est formula imprecandi: οὐκ ἀπάγξῃ που ἀπελθών; v. Euseb. Praep. Evang. p. 215. c.

6. κορβανᾶν]. Non nulli scribae graeci κορβονᾶν.

9. ἱερεμίου] — t ζαχαρίου. E. v. Wetst. et Michaëlis in der Einleitung p. 237. Ipse quondam Mosquae in euchologio graeco scripto, quod complectebatur lectiones ex V. et N. Testamento inveni locum similem Ieremiae nomine. Sed istae chartae, in quibus id mihi notaveram, perierunt. Verum tota ista lectio tunc temporis per fraudem videbatur mihi qui-

καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κερα- 10.
μέως, καθὰ συνέταξέ μοι κύριος.

ΤΚ. α. ὁ δὲ ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· 11.
καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων· σὺ
εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ὁ δὲ ἰησοῦς ἔφη
αὐτῷ· σὺ λέγεις.

ΤΚΑ. δ. καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρ- 12.
χιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρί-
νατο.

τότε λέγει αὐτῷ ὁ πιλάτος· οὐκ ἀκούεις πό- 13.
σα σου καταμαρτυροῦσι;

καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· 14.
ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

ΤΚΒ. β. κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν 15.
ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον.

ΤΚΓ. δ. εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον βα- 16.
ῥαββᾶν.

συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ πιλά- 17.
τος· τίνα θέλετε ἀπολύσω ὑμῖν; βαραβ-
βᾶν ἢ ἰησοῦν τὸν λεγόμενον χριστόν;

ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. 18.

καθη-

quidem ficta esse. Quatuor autem omnino eucho-
logia Mosquae tractavi, quae in mea editione ap-
pellavi ξ. χ. ψ. ω. In quo repererim, nunc non re-
cordor. Credo in ψ. aut ω. ex quibus plura ἀνα-
γνώσματα huius capitis notavi.

10. ἔδωκαν] ἔδωκα. E.

11. ἔστη] ἐστάθη. E. v. Wetst. ad Matth. 2, 9.

16. λεγόμενον] + ἰησοῦν. E. v. Wetst. Birch. P. Orig. III, 918. col. 1. c.

19. καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέ- ΤΚΔ. ς.
στειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα·
μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ
ἔπαθεν σήμερον κατ' ὄναρ δι' αὐτόν.

20. οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν ΤΚΕ. α.
τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν,
τὸν δὲ ἰησοῦν ἀπολέσωσιν.

21. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς· τίνα
θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ
εἶπον, Βαραββᾶν.

22. λέγει αὐτοῖς ὁ πιλάτος· τί οὖν ποιήσω ἰησοῦν ΤΚϚ. α.
τὸν λεγόμενον χριστόν; λέγουσιν αὐτῷ πάν-
τες· σταυρωθήτω.

23. ὁ δὲ ἡγεμὼν ἔφη· τί γὰρ κακὸν ἐποίησεν; οἱ
δὲ περισσῶς ἔκραζον, λέγοντες· σταυρωθήτω.

24. ἰδὼν δὲ ὁ πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ ΤΚΖ. ι.
μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπε-
νίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου,
λέγων· ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ
δικαίου τούτου· ὑμεῖς ὄψεσθε.

25. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε· τὸ αἷμα
αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

τότε

19. γυνὴ] huius memoria inter SS. celebratur in ecclesia graeca Octobr. XXVII. Ergo in meo Cod. quem appello a 3. fol. 147. legitur: ἡ ἁγία Πρόκλα, ἡ γαμετὴ τοῦ Πιλάτου. Dexter in chronico ad annum Christi 34. eam appellat *Claudiam Proculam* Item Malala p. 309.

22. ποιήσω] ποιήσωμεν. Β.

24. τοῦ δικαίου] — Β. Chrysost. VII, 813. c.

ΤΚΗ. α. τότε ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν· τὸν 26.
δὲ ἰησοῦν φραγελλώσας, παρέδωκεν ἵνα σταυ-
ρωθῇ.
ΤΚΘ. δ. τότε [Ἀρχή.] οἱ στρατιῶται τοῦ ἡγεμόνος, 27. ΡΙΒ.
.α ... παραλαβόντες τὸν ἰησοῦν ἐις τὸ πραιτώριον,
συνήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν.
καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλα- 28.
μύδα κοκκίνην.
καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθη- 29.
καν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλαμον
ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες
ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες·
χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων.
ΤΛ. γ. καὶ ἐμπτύσαντες ἐις αὐτὸν, ἔλαβον τὸν κά- 30.
λαμον, καὶ ἔτυπτον ἐις τὴν κεφαλὴν αὐτοῦ.
καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν 31.
χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν ἐις τὸ σταυρῶσαι.
ΤΛΑ. α. ἐξερχόμενοι δὲ ἕυρον ἄνθρωπον κυρηναῖον, ὀνό- 32.
Τέλος τῶν β. ματι σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ
ἤτοι τοῦ ε. τὸν σταυρὸν αὐτοῦ. [Τέλος.]
καὶ τῆς
προσκυνή-
σεως.

καὶ

XXVII, 27. ΡΙΒ. ἰουλίου λα. [ἐν ἄλλῳ γράφεται λ.] ἐις τὴν προσκύνησιν τῶν τιμίων ξύλων· τ. κ. ε. οἱ στρατιῶται τοῦ ἡγεμόνος.

26. παρέδωκεν] + αὐτοῖς. E.

29. ἐπὶ τὴν δεξιὰν] ἐν τῇ δεξιᾷ. E.

λέγοντες] δέροντες. v. Wetst. Griesb. P.

32. κυρηναῖον] + ἐις ἀπάντησιν αὐτοῦ. E. v. Wetst. Griesb. P.

ΡΙΓ. 33. καὶ [Ἀρχή.] ἐλθόντες εἰς τόπον λεγόμενον ΤΛΒ. α.
γολγοθᾶ, * ὅ ἐστι λεγόμενος κρανίου τόπος,
34. ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγ- ΤΛΓ. δ.
μένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν.
35. σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμά- ΤΛΔ. α.
τια αὐτοῦ, βάλλοντες κλῆρον. *
36. καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ.
37. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ ΤΛΕ. α.
τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· οὗτός ἐστιν
ἰησοῦς ὁ βασιλεὺς τῶν ἰουδαίων.
38. τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ ΤΛϚ. α.
δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. [Ὑπάντα.] Ὑπάντα τῆς μεγάλης ϛ.
39. [Ἄρξου.] οἱ δὲ παραπορευόμενοι ἐβλασφή- ΤΛΖ. ϛ.
μουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, εἰς τὸ κατὰ λουκᾶν ἐν
40. καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν, καὶ ἐν κεφαλαίῳ
τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ ρια. καὶ πά-
υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. λιν ἄρξου ἐνταῦθα
ὁμοίως

XXVII, 33. ΡΙΓ. εὐαγγέλιον ζ. τῶν ἁγίων παθῶν. τ. κ. ἐ. ἐλθόντες οἱ στρατιῶται εἰς τόπον λεγόμενον γολγοθᾶ.
33. ὅς ἐστι] ὅ ἐστι.
λεγόμενος] λεγόμενον. D. v. P.
34. ὄξος] οἶνον. E. v. Wetst. P.
μεμιγμένον] miror sane, neminem auctoritate Orig. IV, 196. a. et Chrysost. VII, 819. a. addidisse: ἵνα πληρωθῇ κ. τ. λ. v. P. ad vers. 35.
35. κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον] κλῆρον. v. Wetst. Birch. P. Euthym. I, 1114.
37. ἰησοῦς] — E. v. P.
40. θεοῦ] + καί. E. Ex Codd. Mosqq. didici, aliquot Codd.

ΤΛΗ. β. ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς, ἐμπαίζοντες με- 41.
τὰ τῶν γραμματέων καὶ πρεσβυτέρων * καὶ
Φαρισαίων, ἔλεγον·

ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ 42.
βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ
τοῦ σταυροῦ, καὶ πιστεύσομεν * ἐπ᾽ αὐτῷ.

πέποιθεν ἐπὶ τὸν θεόν· ῥυσάσθω νῦν αὐτὸν, 43.
εἰ θέλει αὐτόν· εἶπε γάρ· ὅτι θεοῦ εἰμι υἱός.

Ὑπέρβα τῆς μεγάλης π. [Ὑπέρβα.]

ΤΛΘ. β. τὸ δ᾽ αὐτὸ καὶ οἱ λῃσταὶ, οἱ συσταυρωθέντες 44.
αὐτῷ, ὠνείδιζον * αὐτόν.

[Ἀρ-

Codd. Chrysost. addere καὶ, sed omissis, εἰ υἱὸς εἶ τοῦ θεοῦ. Eadem tamen ibidem paullo inferius leguntur. v. Chrysost. III, 500. VII, 819. d. VIII, 354. fin.

41. πρεσβυτέρων] + καὶ Φαρισαίων. v. P. Ex tribus alii alia omiserunt. Rem manifestam faciunt Codd. qui loco πρεσβυτέρων exhibent Φαρισαίων. Contra Bengelium notari quoque potest Io. XVIII, 3. Item, quod synedrii sit mentio, in quo erant Pharisaei. Act. 23, 6.

42. πιστεύσομεν] + ἐπ᾽.

44. — E. v. P. Hic versus in lectione ecclesiastica, τῇ μεγάλῃ παρασκευῇ ἑσπέρας, locum nullo modo habere poterat. Cum enim in eadem lectione modo recitatum esset ex Luc. 23, 39. 40. ὁ ἕτερος ἐπιτίμα, absurdum fuisset, iterum de *eodem* addere, ὠνείδιζον αὐτόν. Haec est sola et unice vera caussa omittendi versus huius. Nam dissensum, qui aliquibus videbatur esse inter Matthaeum et Lucam, dudum composuerat Chrysost. VII, 820. c. Restat, ut moneam de duobus evangeliariis, quae post priorem editionem meam consului. Gothanum ergo ter

hunc

45. [Ἄρξου.] ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ΤΜ. β.
ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας * ἐνάτης. Ἄρξου τῆς μεγάλης ϛ.
46. περὶ δὲ τὴν * ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰη- ΤΜΑ. ϛ.
σοῦς φωνῇ μεγάλῃ, λέγων· ἠλὶ, ἠλὶ, * λιμὰ
σαβαχθανί; τοῦτ᾽ ἔστι, θεέ μου, θεέ μου,
ἱνατί με ἐγκατέλιπες;
47. τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον·
ὅτι ἠλίαν φωνεῖ οὗτος.
48. καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν ΤΜΒ. β.
σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς κα-
λάμῳ, ἐπότιζεν αὐτόν.
49. οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες, ἴδωμεν εἰ ἔρχεται
ἠλίας σώσων αὐτόν.

ὁ

hunc versum habet. Primo, τῇ μεγάλῃ παρασκευῇ fol. 163. quod absurdum est, ut dixi. Secundo, εὐαγγέλιον ζ. τῶν παθῶν. fol. 186. Tertio, εὐαγγέλιον τῶν ὡρῶν α. fol. 192. In his tribus locis est, ἀντίδιζον αὐτόν. Augustanum 4. primam lectionem habet fol. 194. secundam fol. 179. In tertia fol. 185. remittit ad fol. 176. et per consequens ad fol. 178. Ergo tantum bis hunc versum habet. Utroque loco autem exhibet, ἀντίδιζον αὐτόν. Quid hic animadversionis dederunt editores a Millio ad Birchium? Nam de Complutensibus, Erasmo, Beza et Stephano quid atticet interrogare? Caryophilus ex X. Codicibus Vaticanissimis admonuit — nihil. Sed iste criticus non nisi ἀπέκτυπον Vaticanorum Codd. ἔλειχε δρόσον.

ἀντίδιζον αὐτῷ] ἀντίδιζον αὐτόν.

45. ἐννάτης] ἐνάτης. Sic et mox.

46. ἀνεβόησεν] ἔκραξεν, omisso proximo λέγων. E. Chrysost. VII, 824. a.

λαμὰ] λιμά.

49. σώσων αὐτόν] + ἕτερος δὲ προσελθὼν λόγχῃ αὐτοῦ

τὴν

ΤΜΓ. α. ὁ δὲ ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, 50.
ἀφῆκε τὸ πνεῦμα.

ΤΜΔ. β. καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχί- 51.
σθη εις δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ,
ἐσεάσθη· καὶ αἱ πέτραι ἐσχίσθησαν.

ΤΜΕ. ι. καὶ τὰ μνημεῖα ἀνεώχθησαν· καὶ πολλὰ 52.
σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη.

καὶ

τὴν πλευρὰν ἔνυξεν † ἄλλος δὲ λαβὼν λόγχην, ἔνυξεν αὐτοῦ τὴν πλευρὰν, καὶ ἐξῆλθε ὕδωρ καὶ αἷμα. E. Ineptissime haec addita sunt ante proxima, κράξας κ. τ. λ. v. P. Euth. 148. Chrysost. VII, 825. c. d. Non miror, haec a Chrysost. explicata esse h. l. Nam in lectione, τῇ μεγάλῃ παρασκευῇ inter Matth. 27, 39—54. et 27, 55—61. legitur Io. 19, 31—37. Huius lectionis ecclesiasticae ipse Chrysost. mentionem fecit VII, 818. c. Montf. l. l. loco ἔνυξεν, edidit ἤνοιξε, addidit tamen: *manuscripti haud pauci*, τὴν πλευρὰν ἔνυξεν. v. Euthym. I, 1118.

50. ὁ δὲ] δὲ — E. v. P.

πάλιν] — E.

ἀφῆκε τὸ πνεῦμα] ἐξέπνευσεν. E. Orig. IV, 298. e.

52. Ante tres fere annos accipiebam ab homine erudito, qui Genevae peregrinatus fuerat, aliquot excerpta Codicis, qui olim, ut narrabatur, Bezae fuerat ac in istis regionibus servabatur in bibliotheca sacerdotis professionis reformatae. Forte is est ille Steph. β. qui nunc latet. In eo hic locus ita corruptus exhibebatur: καὶ τὰ μνήματα ἀνεώχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἐξεβράσθησαν (in marg. ἐξεώσθησαν.) οἱ δὲ παρελθόντες τὰ μνημεῖα μετὰ τὸν σεισμὸν καὶ τὴν ἐξώθησιν τῶν νεκρῶν ᾤχοντο φεύγοντες εἰς τὴν ἁγίαν πόλιν, καὶ πολλοῖς τῶν ἐκεῖ ἐνεφάνισαν τὴν τραγῳδίαν ταύτην. οὗτοι δὲ ἀκούσαντες τὴν λαλιὰν αὐτῶν ἔμφοβοι καὶ ἔντρομοι γενόμενοι μετὰ οἰμωγῆς καὶ κραυγῆς

πολ-

53. κϩ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν
ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πό-
λιν, κϩ ἐνεφανίσθησαν πολλοῖς.
54. ὁ δὲ ἑκατόνταρχος κϩ οἱ μετ' αὐτοῦ, τη- TMϚ. β.
ροῦντες τὸν ἰησοῦν, ἰδόντες τὸν σεισμὸν κϩ
τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες·
ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. [Τέλος. Τέλος τοῦ ζ.
Ὑπάντα.] Ὑπάντα τῆς μεγάλης ϛ.
55. [Ἄρξου.] ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ TMZ. ϛ.
μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ εἰς τὸ κατὰ
ἰησοῦ ἀπὸ τῆς γαλιλαίας, διακονοῦσαι αὐτῷ· ἰωάννην ἐν κεφαλαίῳ
56. ἐν αἷς ἦν μαρία ἡ μαγδαληνὴ κϩ μαρία ἡ ξα. καὶ ἔπει-
τοῦ ἰακώβου κϩ ἰωσῆ μήτηρ, κϩ ἡ μήτηρ τα πάλιν ἄρξου ἐνταῦ-
τῶν υἱῶν ζεβεδαίου. [Τέλος.] θα.

Τέλος τῆς α. ὥρας.

ΞΗ. περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυρίου.

57. ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλού- TMH. α.
σιος

πολλῆς ἀμεταστρεπτεὶ κατέφυγον ἕκαστος εἰς τὰ ἴδια πρὸς τοὺς οἰκείους, ἀπαγγέλλοντες τὴν παρὰ προσδοκίαν ὀξυῤῥεπῶς καὶ ἀθρόως προσεγγίζουσαν καὶ ἤδη ἐνεργοῦσαν φρικωδεστάτην τῶν νεκρῶν ἐξανάστασιν. Huiuscemodi ſunt recenſiones Alexandrino-Occidentales. Nugae et mendacia!

αὐτοῦ, εἰσῆλθον] αὐτοῦ — t αὐτῶν, εἰσῆλθον, t αὐτῶν εἰσῆλθον, ut μετὰ τ. ἔγ. αὐτ. ad εἰσῆλθον referatur. E. v. Wetſt. Birch. P.

54. τὸν σεισμὸν καὶ] — E. v. P. Euth. 95. II, 662. III, 312. Huc, non ad Luc. reſpicit Orig. I, 416. c. ὁ ἑκατοντάρχης — γινόμενα — λέγοντες· θεοῦ υἱὸς ἦν οὗτος. Servat ergo Orig. τὸν σεισμὸν καί.

55. ἐκεῖ γυναῖκες] καὶ γυναῖκες ἐκεῖ t καὶ γυναῖκες t ἐκεῖ καὶ γυναῖκες. E.

56. ἰωσῆ] ἰωσήφ. E.

σιος ἀπὸ ἀριμαθαίας, τοὔνομα ἰωσὴφ, ὃς
καὶ αὐτὸς ἐμαθήτευσε τῷ ἰησοῦ.
οὗτος προσελθὼν τῷ πιλάτῳ, ἠτήσατο τὸ 58.
σῶμα τοῦ ἰησοῦ. τότε ὁ πιλάτος ἐκέλευσεν
ἀποδοθῆναι τὸ σῶμα.
ΤΜΘ. α. καὶ λαβὼν τὸ σῶμα ὁ ἰωσὴφ, ἐνετύλιξεν αὐ- 59.
τὸ σινδόνι καθαρᾷ,
καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, 60.
ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλί-
σας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου,
ἀπῆλθεν.
ΤΝ. γ. ἦν δὲ ἐκεῖ μαρία ἡ μαγδαληνὴ, καὶ ἡ ἄλλη 61.
μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.
Τέλος τῆς μεγάλης ϛ. [Τέλος.]
ΤΝΑ. ι. [Ἀρχή.] τῇ δὲ ἐπαύριον, ἥτις ἐςὶ μετὰ τὴν 62. ΡΙΔ.
παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ
φαρισαῖοι πρὸς πιλάτον,
λέγοντες· κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλά- 63.
νος εἶπεν, ἔτι ζῶν· μετὰ τρεῖς ἡμέρας ἐγεί-
ρομαι.

κέλευ-

XXVII, 62. ΡΙΔ. τῷ ὄρθρῳ τοῦ μεγάλου σαββάτου, καὶ τῶν ἁγίων παθῶν ιβ. τῇ ἐπαύριον, ἥτις ἐςί.

67. ἐμαθήτευσε] ἐμαθητεύθη. E.

58. τότε ὁ] ὁ δέ. E.

τὸ σῶμα secundum] — E.

59. ἐνετύλιξεν] ἐνείλησεν. E.

63. ἐκεῖνος ὁ πλάνος] ὁ πλάνος ἐκεῖνος. D.

ἐγείρομαι] ἀναστήσομαι. E. Chrysost. VII, 459. c.

64\. κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ· ἠγέρθη ἀπὸ τῶν νεκρῶν. καὶ ἔσαι ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης.

65\. ἔφη δὲ αὐτοῖς ὁ πιλάτος· ἔχετε κουςωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε.

66\. οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουςωδίας. [Τέλος.] Τέλος τῶν β.

XXVIII, 1. [Ἀρχή.] Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφω- ΤΝΒ. α.
ΡΙΕ. σκούσῃ εἰς μίαν σαββάτων, ἦλθε μαρία ἡ μαγδαληνὴ, καὶ ἡ ἄλλη μαρία, θεωρῆσαι τὸν τάφον.

καὶ

XXVIII, 1. ΡΙΕ. τῷ μεγάλῳ σαββάτῳ, ἑσπέρας· ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ.

64\. ἀσφαλισθῆναι] σφραγισθῆναι. E.

νυκτὸς] — A.

65\. ἔφη δὲ] δὲ — A.

κουςωδίαν] φύλακας. E. Theophylact. h. l. κουςωδία· φυλακή. v. v. 11.

66\. τῆς κουςωδίας] τῶν φυλάκων. E.

XXVIII, 1. ὀψὲ δὲ] δὲ — E.

σαββάτων] σαββάτῳ t σαββάτου. E. Cyrillus Io. 20, 1. exponens et dissensum evangelistarum componens IV, 1079. a. b. Ματθαῖος, inquit, ἑσπέρας ἔφη βαθείας οὔσης γενέσθαι τὴν ἀνάστασιν. Deinde hoc comparans cum Lucae 24, 1. ὄρθρου βαθέος, addit: ὄρθρος γὰρ, ὡς ἔγωμαι, βαθὺς, καὶ ἑσπέρα βαθεία, πρὸς ἕν τι καταφέρει τὸ

σημαι-

καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας· ἄγγελος 2.
γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν
ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ
ἐκάθητο ἐπάνω αὐτοῦ.
ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔν- 3.
δυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών.
ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τη- 4.
ροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί.
ΤΝΓ. β. ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναι- 5.
ξί· μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν
τὸν ἐσταυρωμένον ζητεῖτε.
οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ, καθὼς εἶπε. δεῦ- 6.
τε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος.

καὶ

σημαινόμενον. Idem Matthaeo tribuit Theophyl. p. p. 832. b. edit. Morell. mox tamen ibi vulgatum laudat. Tam accurati ergo ſunt, cum de induſtria evangeliſtas interpretantur et diſſenſus, qui inter eos videntur eſſe, tollere laborant v. Euth. Zigab. I, 1154. nota 9.

2. ἐξ οὐρανοῦ] ἐκ τοῦ οὐρανοῦ. E. Chryſoſt. VII, 834. a.
προσελθὼν] καὶ προσελθών. E.
ἀπὸ τῆς θύρας] — t. + τοῦ μνημείου. Chryſoſt. VII, 834. a.

3. λευκὸν] — E.

6. ὁ κύριος] — E. v. P. In eodem verſu omittit Chryſ. VII, 834. c. etiam in ſex Codd. Mosqq. οὐκ ἔστιν ὧδε, γὰρ et ὁ κύριος. Habet autem, δεῦτε καὶ ἴδετε. Quid ex his efficitur? Scilicet, ut ſequamur auctoritatem Codd. evangeliorum. Semel hic in fine huius evangelii monitum ſit, in plerisque Codd. iis etiam, qui a ſcribis graecis et doctis ſcripti ſunt, loco ὧδε, inveniri ὠδε cum ſpiritu leni. Nec aliter

inve-

7. καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε. ἰδοὺ, εἶπον ὑμῖν.

8. καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ΤΝΔ. β.

9. ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ, † ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· χαίρετε. αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. ΤΝΕ. ι.

10. τότε λέγει αὐταῖς ὁ ἰησοῦς· μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν, * καὶ ἐκεῖ με ὄψονται.

11. πορευομένων δὲ αὐτῶν, ἰδοὺ, τινὲς τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.

καὶ

inveni in Codd. ſcriptorum, ut vocant, *profanorum*. De ea re monent etiam grammatici veteres. Vide gloſſaria graeca minora etc. a me edita Moſquae 1774. 1775. 4. Vol. I. p. 42. num. 10. ὧδι, ἀντὶ τοῦ ἐνταῦθα· ὧδε δὲ, ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον δασύνεται. Ibidem eſt ὡδὶ et ὠδί. Sed utrumque ſpiritu aspero ſcribendum contendit Phavorinus in ὧδε. Unde vero etiam ſit ὧδε;

7. ἀπὸ τῶν νεκρῶν] — E.

9. ὡς δὲ — μαθηταῖς αὐτοῦ] — E. v. P. Birch,
ὁ ἰησοῦς] ὁ — A.

10. κἀκεῖ] καὶ ἐκεῖ. A.

καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, 12.
συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδω-
καν τοῖς στρατιώταις,
λέγοντες· εἴπατε, ὅτι οἱ μαθηταὶ αὐτοῦ νυ- 13.
κτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμω-
μένων.
καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, 14.
ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους
ποιήσομεν.
οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς 15.
ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος οὗτος
παρὰ ἰουδαίοις μέχρι τῆς σήμερον.
[Ἀρχή.] οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν 16. PIS.
εἰς τὴν γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο
αὐτοῖς ὁ ἰησοῦς.
καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ 17.
ἐδίστασαν.
καὶ προσελθὼν ὁ ἰησοῦς, ἐλάλησεν αὐτοῖς, 18.
λέγων· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ
καὶ ἐπὶ γῆς.

πορευ-

XXVIII, 16. PIS. ἑωθινὸν α. καὶ κυριακῇ τοῦ ἀντίπασχα, εἰς τὸν ὄρθρον. τ. κ. ἱ. οἱ ἕνδεκα μαθηταί.

13. νυκτὸς ἐλθόντες] ἐλθόντες νυκτὸς t νυκτὸς — E. v. P. Cyrill. IV, 520. Sed II, 749. d. ἐλθόντες νυκτός.

15. διεφημίσθη] ἐφημίσθη. E. Cyrill. II, 749. d. IV, 916. c. VI, b. 387. a

μέχρι τῆς σήμερον] ἕως τῆς σήμερον ἡμέρας. E. v. P. Chrysost. VII, 841. μέχρι τῆς σήμερον ἡμέρας Cyrill. II, 749.

16. ἐπορεύθησαν] ἀπῆλθον. E. v. P. Chrys. VII, 841. a. εἰς τὸ ὄρος — ἰησοῦς] — E. v. ibid.

17. αὐτῷ] αὐτόν. D.

19. πορευθέντες * μαθητεύσατε πάντα τὰ ἔθ-
νη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύ-
ματος.
20. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνε-
τειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμὶ
πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ
αἰῶνος. ἀμήν. [Τέλος.]

Τέλος τοῦ κατὰ ματθαῖον εὐαγγελίου. στίχοι βχ. ἐξεδόθη ὑπ' αὐτοῦ μετὰ χρόνους η. τῆς χριστοῦ ἀναλήψεως.

Τέλος τοῦ μεγάλου σαββάτου καὶ τοῦ ἑωθινοῦ.

19. πορευθέντες οὖν] οὖν —. v. Euth. 96. Hunc versum laudat Cyrill. IV, 17. d. I, a. 330. 334. II, 206. III, 425. 765. V, a. 505. 633. b. 256. 285. Hic in plerisque locis deest οὖν et in fine ἀμήν. Nemo tamen exinde argumentum petat, cum ad consilium Cyrilli nec οὖν, nec ἀμὴν pertinuerit, nisi fortasse aliquis ex ultimo loco hic etiam legere velit versu 20. πάντα τηρεῖν τὰ ἐντεταλμένα.

20. ἐγὼ] — E. v. P. Habet et omittit, sicut Orig., etiam Chrysost. VII, 185. c. 519. c. XI, 70. Hunc versum habet Cyrill. I, a. 385. g. 116. II, 551. IV, 916. V, a. 642. 699. d. 26. VI, b. 387. Modo ἐγὼ habet, modo omittit. Ex duobus ergo Patribus Alexandrinissimis et uno Constantinopolitanissimo et hic et alibi nihil efficitur.

ἕως] καὶ ἕως. E. Cyrill. I, a. 385. d.
ἀμήν.] — E. v. P.

Τὸ κατὰ

Μάρκον

ἅγιον

Εὐαγγέλιον.

Α. β. [Ἀρχή.] Ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χρι- I, 1. Α.
στοῦ, υἱοῦ τοῦ θεοῦ·
ὡς γέγραπται ἐν τοῖς προφήταις· ἰδοὺ, ἐγὼ 2.
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου
σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπρο-
σθεν σου·
Β. α. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν 3.
ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐ-
τοῦ.

ἐγέ-

I, 1. Α. κυριακῇ πρὸ τῶν φώτων· ἀρχὴ τοῦ ἐυαγγελίου.

I, 1. ἰησοῦ χριστοῦ] χριστοῦ ἰησοῦ. E. v. P. Orig. I, 389. E. nominatim appellans Marcum: ἀρχὴ τοῦ ἐυαγγελίου ἡμῶν ἰησοῦ χριστοῦ· ὡς γέγραπται ἐν ἠσαΐᾳ τῷ προφήτῃ· ἰδού.
υἱοῦ τοῦ θεοῦ] — E. v. P. Cyrill. VI, b. 330. γράφει γοῦν (ὁ μάρκος) ἀρχὴ τοῦ ἐυαγγελίου ἰησοῦ χριστοῦ υἱοῦ τοῦ θεοῦ. ὁ δὲ θεοῦ κ. τ. λ.

2. ἐν τοῖς προφήταις] ἐν ἠσαΐᾳ τῷ προφήτῃ t ἐν τῷ ἠσαΐᾳ τῷ προφήτῃ. E. v. P.
ἔμπροσθεν σου] — E. v. P.

3. ἑτοιμάσατε] ἐυθύνατε. E. v. P.
τρίβους αὐτοῦ] τρίβους τοῦ θεοῦ ὑμῶν. E. v. P.

4. ἐγένετο ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ Γ. γ.
κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν
ἁμαρτιῶν.

5. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία
χώρα καὶ οἱ ἱεροσολυμῖται· καὶ ἐβαπτίζον-
το πάντες ἐν τῷ ἰορδάνῳ ποταμῷ ὑπ᾽ αὐτοῦ,
ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

6. ἦν δὲ * ὁ ἰωάννης ἐνδεδυμένος τρίχας καμή-
λου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν
αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον.

7. καὶ ἐκήρυσσε, λέγων· ἔρχεται ὁ ἰσχυρότερός Δ. α.
μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς, κύψας
λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.

8. ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ
βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. [Τέλος.] Τέλος τῆς κυριακῆς.

B. 9. καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις [Ἀρ- Ε. α.
χή·] ἦλθεν ἰησοῦς ἀπὸ ναζαρὲτ τῆς γαλι-
λαίας,

I, 9. B. τῇ β. τῆς ιβ. [ἐν ἄλλοις, τῆς α.] ἑβδ. καὶ τῷ ὄρθρῳ τῶν ἁγίων θεοφανίων· τ. κ. ἐ. ἦλθεν [ὁ] ἰησοῦς ἀπὸ ναζαρέτ.

5. ἐξεπορεύετο] ἐξεπορεύοντο. E. v. P.
ἱεροσολυμῖται — ὑπ᾽ αὐτοῦ] ἱεροσολυμῖται πάντες καὶ ἐβαπτίζοντο ὑπ᾽ αὐτοῦ ἐν τῷ ἰορδάνῃ ποταμῷ. E. v. P.

6. δὲ ἰωάννης] δὲ ὁ ἰωάννης.
τρίχας — ὀσφὺν αὐτοῦ] δέῤῥιν καμήλου. E. v. P.

7. ὀπίσω μου] μου — E. v. P.
ἐκήρυσσε λέγων] ἔλεγεν αὐτοῖς· ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι. E. v. P.

8. ἐγὼ μὲν] μὲν — E. v. P.
ἐν ὕδατι] ἐν — E.
ἁγίῳ] + καὶ πυρί. E.

λαίας, καὶ ἐβαπτίσθη ὑπὸ ἰωάννου ἐις τὸν
ἰορδάνην.
καὶ ἐυθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, ἔιδε 10.
σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ πνεῦμα
ὡσεὶ περισερὰν καταβαῖνον ἐπ᾽ αὐτόν.
Τέλος τοῦ ὄρθρου. καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· σὺ ἔι ὁ 11.
υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ἐυδόκησα. [Τέλος.]
Ϛ. β. καὶ ἐυθέως τὸ πνεῦμα αὐτὸν ἐκβάλλει ἐις 12.
τὴν ἔρημον.
Ζ. γ. καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαρά- 13.
κοντα, πειραζόμενος ὑπὸ τοῦ σατανᾶ· καὶ
ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι διηκό-
νουν αὐτῷ.
Η. δ. μετὰ δὲ τὸ παραδοθῆναι τὸν ἰωάννην, ἦλθεν 14.
ὁ ἰησοῦς ἐις τὴν γαλιλαίαν, κηρύσσων τὸ
ἐυαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ,
Θ. ε. καὶ λέγων· ὅτι πεπλήρωται ὁ καιρὸς, καὶ 15.
ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· μετανοεῖτε
Τέλος τῆς β. καὶ πιστεύετε ἐν τῷ ἐυαγγελίῳ. [Τέλος.]
['Αρ-

9. ὑπὸ — ἰορδάνην] ἐις τὸν ἰορδάνην ὑπὸ ἰωάννου. E.
Orig IV, 150. c. nominatim.
10. ἀπὸ τοῦ] ἐκ τοῦ E.
σχιζομένους] ἠνοιγμένους. E. v. P.
ὡσεὶ] ὡς. E.
11. ἐν ᾧ] ἐν σοί. E.
13. ἐκεῖ ἐν τῇ ἐρήμῳ] — E.
ἡμέρας τεσσαράκοντα] τεσσαράκοντα ἡμέρας καὶ τεσ-
σαράκοντα νύκτας. E. v. P.
14. τῆς βασιλείας] — E.
15. καὶ λέγων] — E. καὶ — E.
ὅτι πεπλήρωται — θεοῦ] — E.
ἐν τῷ ἐυαγγελίῳ] ἐν — E.

Γ. 16. [Ἀρχή.] περιπατῶν δὲ παρὰ τὴν θάλασ-
σαν τῆς γαλιλαίας, εἶδε σίμωνα καὶ ἀν-
δρέαν, τὸν ἀδελφὸν αὐτοῦ * τοῦ σίμωνος,
βάλλοντας ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ·
ἦσαν γὰρ ἁλιεῖς·

17. καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς· δεῦτε ὀπίσω μου, I. β.
καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων.

18. καὶ εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκο-
λούθησαν αὐτῷ.

19. καὶ προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν ἰάκωβον τὸν
τοῦ ζεβεδαίου, καὶ ἰωάννην τὸν ἀδελφὸν αὐ-
τοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας
τὰ δίκτυα.

20. καὶ εὐθέως ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες IA. ς.
τὸν πατέρα αὐτῶν ζεβεδαῖον ἐν τῷ πλοίῳ
μετὰ τῶν μαθητῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ.

21. καὶ εἰσπορεύονται εἰς καπερναούμ· καὶ εὐθέως IB. ς.
τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν,
ἐδίδασκε.

22. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν IΓ. β.
γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ
οὐχ ὡς οἱ γραμματεῖς. [Τέλος.] Τέλος τῆς γ.

A. πι-

I. 16. Γ. τῇ γ. τῆς ιβ. [ἐν ἄλλοις, τῆς α.] ἑβδ. τ. κ. ἐ.
περιπατῶν ὁ ἰησοῦς παρά.

16. περιπατῶν δὲ] καὶ παράγων. E.

ἀδελφὸν αὐτοῦ] + τοῦ.

βάλλοντας] ἀμφιβάλλοντας. E.

20. ἀπῆλθον ὀπίσω αὐτοῦ] ἠκολούθησαν αὐτῷ. E.

21. εἰσελθὼν] — E.

Α. περὶ τοῦ δαιμονιζομένου.

ΙΔ. ἡ. καὶ [Ἀρχή.] ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄν- 23. Δ.
θρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέ-
κραξε,
λέγων· ἔα, τί ἡμῖν καὶ σοὶ ἰησοῦ ναζαρηνέ; 24.
ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος
τοῦ θεοῦ.
καὶ ἐπετίμησεν αὐτῷ ὁ ἰησοῦς, λέγων· Φιμώ- 25.
θητι καὶ ἔξελθε ἐξ αὐτοῦ.
καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκά- 26.
θαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν
ἐξ αὐτοῦ.
καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν 27.
πρὸς * ἑαυτούς, λέγοντας· τί ἐστι τοῦτο; τίς
ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ᾽ ἐξουσίαν
καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσ-
σει, καὶ ὑπακούουσιν αὐτῷ;
ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν 28.
Τέλος τῆς δ. περίχωρον τῆς γαλιλαίας. [Τέλος.]

καὶ

I, 23. Δ. τῇ δ. τῆς ιβ. ἑβδ. τ. κ. ἰ. ἄνθρωπός τις ἦν ἐν τῇ συναγωγῇ τῶν ἰουδαίων ἐν πνεύματι.

23. ἀνέκραξε] ἀνέκραζε t ἔκραξε t ἐνέκραξε. E.

24. οἶδα] οἴδαμεν. E. v. P. Cyrill. IV, 559. a. I, a. 185. II, 230. Sed et alia ibi mutat, nec sibi constat.

ἅγιος] υἱός. E. v. P.

26. κράξαν] φωνῆσαν. E. Nugas Cod. D. quas recte repudiavit Griesb. notavit Wetst.

27. πάντες] ἅπαντες. E.

πρὸς αὐτοὺς] πρὸς ἑαυτούς.

29. καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ΙΕ. β.
Ε. [Ἀρχή.] ἦλθον εἰς τὴν οἰκίαν σίμωνος καὶ
ἀνδρέου, μετὰ ἰακώβου καὶ ἰωάννου.

Β. περὶ τῆς πενθερᾶς πέτρου.

30. ἡ δὲ πενθερὰ σίμωνος κατέκειτο πυρέσσουσα·
καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς.
31. καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας
τῆς χειρὸς αὐτῆς· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως· καὶ διηκόνει αὐτοῖς.

Γ. περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

32. ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον
πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ
τοὺς δαιμονιζομένους.
33. καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν
θύραν.
34. καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ΙΕ. α.
ποικίλαις νόσοις· καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια,
ὅτι ᾔδεισαν αὐτόν. [Τέλος.] Τέλος ἔν τισι τῆς ε.
35. καὶ πρωῒ ἔννυχον λίαν ἀναστὰς ἐξῆλθε, καὶ ΙΖ. α.
5. [Ἀρχή.] ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ
προσηύχετο. [Τέλος.] Τέλος τῆς ε.

καὶ

I, 29. Ε. τῇ ε. τῆς ιβ. ἑβδ. τ. κ. ἐ. ἦλθεν ὁ ἰησοῦς εἰς τὴν οἰκίαν σίμωνος.
I, 35. 5. σαββάτῳ β. τῶν νηστειῶν· τ. κ. ἐ. ἀπῆλθεν ὁ ἰησοῦς εἰς ἔρημον.
32. ὀψίας] ἑσπέρας. E v. P.
34. ᾔδεισαν] + αὐτὸν χριστὸν εἶναι. E. v. P.
35. ἔννυχον] ἔννυχα l ἐννύχιον. E. ἔννυχον nominatim Orig. I, 216. d. Compara 16, 2.

καὶ κατεδίωξαν αὐτὸν ὁ σίμων καὶ οἱ μετ' 36.
αὐτοῦ.

καὶ ἑυρόντες αὐτὸν, λέγουσιν αὐτῷ· ὅτι πάν- 37.
τες * σὲ ζητοῦσι.

καὶ λέγει αὐτοῖς· ἄγωμεν ἐις τὰς ἐχομένας 38.
κωμοπόλεις, ἵνα * καὶ ἐκεῖ κηρύξω· ἐις τοῦτο
γὰρ ἐξελήλυθα.

καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, 39.
ἐις ὅλην τὴν γαλιλαίαν, καὶ τὰ δαιμόνια
ἐκβάλλων.

Δ. περὶ τοῦ λεπροῦ.

ΙΗ. β. καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν 40.
αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐ-
τῷ· ὅτι ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

ὁ δὲ ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖ- 41.
ρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· θέλω,
καθαρίσθητι.

καὶ ἐιπόντος αὐτοῦ, ἐυθέως ἀπῆλθεν ἀπ' 42.
αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη.

καὶ ἐμβριμησάμενος αὐτῷ, ἐυθέως ἐξέβαλεν 43.
αὐτόν.

καὶ

37. ζητοῦσί σε] σὲ ζητοῦσι.
38. κἀκεῖ] καὶ ἐκεῖ.
ἐξελήλυθα] ἐλήλυθα. E. v. P.
39. ἐι ταῖς συναγωγαῖς] εἰς τὰς συναγωγάς. E.
40. καὶ γονυπετῶν αὐτὸν] — E.
41. ὁ δὲ ἰησοῦς σπλαγχνισθεὶς] καὶ ὀργισθείς. E.
42. ἐκαθαρίσθη] ἐκαθερίσθη. E. rarum hoc vocabulum recondendum in thesauris Stephani. v. Wetst. Griesb. Birch.

44. καὶ λέγει αὐτῷ· ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ'
ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσέ-
νεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέτα-
ξε μωυσῆς, εἰς μαρτύριον αὐτοῖς. [Τέλος.] Τέλος τοῦ σαββάτου.
45. ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ, καὶ ΙΘ. ι.
διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύ-
νασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν· ἀλλ'
ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς
αὐτὸν πανταχόθεν.

II, 1. Ζ. Καὶ [Ἀρχή.] * εἰσῆλθε πάλιν εἰς καπερναοὺμ Κ. α.
δι' ἡμερῶν· καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι.
2. καὶ εὐθέως συνήχθησαν πολλοὶ, ὥστε μηκέτι
χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει
αὐτοῖς τὸν λόγον.

Ε. περὶ τοῦ παραλυτικοῦ.

3. καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέ-
ροντες, αἰρόμενον ὑπὸ τεσσάρων.
4. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν
ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ
ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ
ὁ παραλυτικὸς κατέκειτο.

ἰδὼν

II, 1. Ζ. κυριακῇ β. τῶν νηστειῶν· τ. κ. ἰ. [ἦλθεν] εἰσῆλ-
θεν ὁ ἰησοῦς εἰς καπερναοὺμ καὶ ἠκούσθη.
44. προσένεγκε] προσένεγκαι. Ε.
45. πανταχόθεν] πάντοθεν t πάντες. Ε.
II, 1. πάλιν εἰσῆλθεν] εἰσῆλθε πάλιν.
δι' ἡμερῶν] δι' ὀκτὼ (η.) ἡμερῶν. Ε. Graeci iſtud
interprotantur: διελθουσῶν ἡμερῶν τινῶν.
3. τεσσάρων] + ἐπὶ κλίνης. Ε.
4. προσεγγίσαι] ἐγγίσαι t προσενέγκαι. Ε.
ἐξορύξαντες] — Ε. Intelligo, τὰς πλίνθους, τὸ κα-
τάγεων

ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίςιν αὐτῶν, λέγει τῷ 5.
παραλυτικῷ· τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρ-
τίαι σου.
ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθή- 6.
μενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις
αὐτῶν·
τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύ- 7.
ναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός;
καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι 8.
αὐτοῦ, ὅτι οὕτως * αὐτοὶ διαλογίζονται ἐν
ἑαυτοῖς, εἶπεν αὐτοῖς· τί ταῦτα διαλογίζε-
σθε ἐν ταῖς καρδίαις ὑμῶν;
τί ἐςιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· 9.
ἀφέωνταί * σου αἱ ἁμαρτίαι· ἢ εἰπεῖν· ἔγει-
ραι, καὶ ἆρόν σου τὸν κράββατον, καὶ περι-
πάτει;
ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ 10.
ἀνθρώπου * ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας·
λέγει τῷ παραλυτικῷ·

σοὶ

τάσρωμα, *perfoſſo lacunari, tabulato.* Scribae non nulli alia etiam in hoc ipſo evangelio praetermiſe-runt, quae non intelligebant.

5. σοι αἱ ἁμαρτίαι σου] σου αἱ ἁμαρτίαι. E. Sic, et ἀφίενται Cyrill V, a. 5' 9. Sed incertum, ex quo evangeliſta ibi laudet verſ. 5. et 9.

8. οὕτω] ουτως αὐτοί.

9. σοι αἱ] σου αἱ.

ἔγειραι] ἔγειρε. A.

καὶ] — E. Facile excidebat poſt ἔγειραι aut ἔγειρε.

σου τὸν κράββατον] τὸν κράββατόν σου. D.

10. ἀφιέναι ἐπὶ της γῆς] ἐπὶ της γῆς ἀφιέναι.

11. σοὶ λέγω, ἔγειραι καὶ ἆρον τὸν κράββατόν
σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.
12. καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράββα-
τον, ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι
πάντας, καὶ δοξάζειν τὸν Θεὸν, λέγοντας·
ὅτι οὐδέποτε οὕτως εἴδομεν. [Τέλος.] Τέλος τῆς
13. καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ κυριακῆς.
πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτὸν, καὶ ἐδίδα-
σκεν αὐτούς.

5. περὶ λευῒ τοῦ τελώνου.

Η. 14. καὶ [Ἀρχή.] παράγων εἶδε λευῒν τὸν τοῦ ΚΑ. β.
ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ
λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκο-
λούθησεν αὐτῷ.
15. καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ ΚΒ. β.
οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρ-
τωλοὶ συνανέκειντο τῷ ἰησοῦ, καὶ τοῖς μαθη-
ταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοὶ, καὶ ἠκολού-
θησαν αὐτῷ.
16. καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες
αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρ-
τωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· τί ὅτι
μετὰ

II, 14. Η. σαββάτῳ κ. [ἐν ἄλλῳ· σαββάτῳ ε.] τῶν νηστειῶν· τ. κ. ἐ. παράγων ὁ ἰησοῦς εἶδε λευΐν.

11. ἔγειραι] ἔγειρε. A.

14. λευῒν] λευῒ τ ἰάκωβον. E. v. P. Euth. 150 — 152. Levi diſerte Euth. ad h. l. et ad Matth. 9. 9. et Theophyl. ad h. l.

16. Attingit Orig. II, 637. e.

μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει
καὶ πίνει;
ΚΓ. β. καὶ ἀκούσας ὁ ἰησοῦς, λέγει αὐτοῖς· οὐ χρείαν 17.
ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς
ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ
Τέλος τοῦ σαββάτου. ἁμαρτωλοὺς εἰς μετάνοιαν. [Τέλος.]
καὶ [Ἀρχή.] ἦσαν οἱ μαθηταὶ ἰωάννου καὶ 18. Θ.
οἱ τῶν Φαρισαίων νηστεύοντες· καὶ ἔρχονται
καὶ λέγουσιν αὐτῷ· διατί οἱ μαθηταὶ ἰωάν-
νου καὶ οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ
μαθηταὶ οὐ νηστεύουσι;
καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς· μὴ δύνανται οἱ 19.
υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐ-
τῶν ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν
ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν.
ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐ- 20.
τῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκεί-
ναις ταῖς ἡμέραις.
καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρ- 21.
ῥάπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μή, αἴρει
τὸ

II, 18. Θ. τῇ ς. τῆς ιβ. ἑβδ. τ. κ. ἐ. ἦσαν οἱ μαθηταὶ ἰωάννου καὶ οἱ [Φαρισαῖοι] τῶν Φαρισαίων.

17. εἰς μετάνοιαν] — D. v. P. Interpretatur Theophyl. 200. e.

18. οἱ τῶν Φαρισαίων prius] οἱ Φαρισαῖοι. E.

19. ὅσον χρόνον — νηστεύειν] — E. v. P.

20. ἀπαρθῇ] ἀρθῇ. E.
ἐκείναις ταῖς ἡμέραις] ἐκείνῃ τῇ ἡμέρᾳ. E.

21. καὶ οὐδεὶς] καὶ — E.
αἴρει] + ἀπ' αὐτοῦ. E.

τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ,
καὶ χεῖρον σχίσμα γίνεται.

22. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς πα-
λαιούς· εἰ δὲ μὴ, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς
ἀσκοὺς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ
ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς και-
νοὺς βλητέον. [Τέλος.] Τέλος τῆς τ.

I. 23. καὶ ἐγένετο [Ἀρχή.] παραπορεύεσθαι αὐ- ΚΔ. β.
τὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ
ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλ-
λοντες τοὺς στάχυας.

24. καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· ἴδε, τί ποι-
οῦσιν ἐν τοῖς σάββασιν, ὃ οὐκ ἔξεστι;

25. καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· οὐδέποτε ἀνέγνωτε
τί ἐποίησε δαυὶδ, ὅτε χρείαν ἔσχε καὶ
ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ;

26. πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ
ἀβιάθαρ * ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς
προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ
μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐ-
τῷ οὖσι;

καὶ

II, 23. I. σαββάτῳ α. τῶν νηστειῶν καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου. τ. κ. ἐι ἐπορεύετο ὁ Ἰησοῦς τοῖς σάββασι.

τὸ πλήρωμα αὐτοῦ] αὐτοῦ — E.

22. ὁ νέος] — E.

24. ποιοῦσιν] + οἱ μαθηταί σου. E.

ἐν τοῖς] ἐν — E.

26. τοῦ ἀρχιερέως] τοῦ — v. P.

ΚΕ. β. καὶ ἔλεγεν αὐτοῖς· τὸ σάββατον διὰ τὸν 27.
ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ
σάββατον·
ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ 28.
σαββάτου.

Ζ. περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.

Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγὴν, καὶ III, 1.
ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν
χεῖρα,
καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θε- 2.
ραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ.
καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην 3.
ἔχοντι τὴν χεῖρα, ἔγειραι εἰς τὸ μέσον.
καὶ λέγει αὐτοῖς· ἔξεστι τοῖς σάββασιν ἀγα- 4.
θοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ
ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων.
καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλ- 5.
λυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐ-
τῶν, λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖ-
ρά

27. — E. Laudat et discrimen inter Marc. et Matth. notat Chryſ. VII, 434. d.

28. ὥστε] λέγω δὲ ὑμῖν. E. In his duobus primis capitibus duae ſunt notabiles corruptiones, I, 2. et II, 14. Unde eae? Ex Origene. Tanta ergo praeſtantia evangeliorum Origenianorum!

III, 3. ἔγειραι] ἔγειρε. A. Hoc unum hic addo, Marcum 14, 42. ſine ulla varietate habere ἐγείρεσθε, non ἐγείρετε.

4. ἀποκτεῖναι] ἀπολέσαι. E. Scilicet hoc rectius opponitur τῷ σῶσαι.

5. πωρώσει] πηρώσει. l. νεκρώσει. E.

ρά σου. καὶ ἐξέτεινε· καὶ * ἀπεκατεςάθη ἡ
χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. [Τέλος.] Τέλος τοῦ σαββάτου.
ΙΑ. 6. καὶ [Ἀρχή.] ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως ΚϚ. δ.
μετὰ τῶν ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ' καὶ τοῦ ἁγίου.
αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.
7. καὶ ὁ ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν ΚΖ. α.
αὐτοῦ πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆ-
θος ἀπὸ τῆς γαλιλαίας ἠκολούθησαν αὐτῷ,
καὶ ἀπὸ τῆς ἰουδαίας,
8. καὶ ἀπὸ ἱεροσολύμων, καὶ ἀπὸ τῆς ἰδουμαίας,
καὶ πέραν τοῦ ἰορδάνου· καὶ οἱ περὶ τύρον
καὶ σιδῶνα, πλῆθος πολὺ, ἀκούσαντες ὅσα
ἐποίει, ἦλθον πρὸς αὐτόν.
9. καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοι-
άριον προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα
μὴ θλίβωσιν αὐτόν.
10. πολλοὺς γὰρ ἐθεράπευσεν· ὥςε ἐπιπίπτειν
αὐτῷ, ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάςι-
γας.

καὶ

III, 6. ΙΑ. τῇ β. τῆς ιγ. ἑβδ. τ. κ. ε. συμβούλιον ἐποί-
ησαν οἱ Φαρισαῖοι [οἱ ἰουδαῖοι.] κατὰ τοῦ ἰησοῦ [με-
τὰ τῶν ἡρωδιανῶν] ὅπως αὐτόν.
ἀποκατεςάθη] ἀπεκατεςάθη. A. Ita multoties in
V. et N. Test. in optimis Codd.
ἡ χεὶρ αὐτοῦ] — E.
ὑγιὴς ὡς ἡ ἄλλη] — E. v. P.
6. ἐποίουν] ἐδίδουν. E.
7. ἀνεχώρησε — αὐτοῦ] μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνε-
χώρησε. E.
πρὸς τὴν θάλασσαν] εἰς (παρὰ) τὴν θάλασσαν. D.
ἠκολούθησαν] ἠκολούθησεν. E. + αὐτῷ. E.

ΚΗ. ϛ. καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐ- 11.
τὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ καὶ ἔκραζε,
λέγοντα· ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ.
καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ * φανε- 12.
Τέλος τῆς β. ρὸν αὐτὸν ποιήσωσι. [Τέλος.]

Η. περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς.

καὶ [Ἀρχή.] ἀναβαίνει εἰς τὸ ὄρος, καὶ 13. ΙΒ.
προσκαλεῖται οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλ-
θον πρὸς αὐτόν.
ΚΘ. β. καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ 14.
ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν,
καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους, 15.
καὶ ἐκβάλλειν τὰ δαιμόνια.
καὶ ἐπέθηκε τῷ σίμωνι ὄνομα πέτρον· 16.

καὶ

III, 13. ΙΒ. τῇ γ. τῆς ιγ. ἑβδ. τ. κ. ἐ. ἀνέβη ὁ ἰησοῦς εἰς τὸ ὄρος.

11. ἐθεώρει, προσέπιπτεν — ἔκραζε] ἐθεώρουν, προσέπιπτον — ἔκραζον. E.

12. αὐτὸν φανερὸν ποιήσωσι] φανερὸν αὐτὸν ποιήσωσι.

13. ἀναβαίνει] ἀνέβη. E. v. P.

16. ἐπέθηκε] + αὐτοῖς ὀνόματα. E. Desideratur sane hic aliquid. Ergo alii hoc, alii, ante καὶ ἐπέθηκεν, addebant, πρῶτον σίμωνα. Correctio parit correctionem. Alter enim alterum cupit antecellere ingenio. Hinc saepenumero in eiusmodi locis tres lectiones reperiuntur. Centum exempla in promtu sunt. Hic acuti critici est eligere verum. Saepe in talibus adiuvant Codices in textu, etiam in scholiis. Saepe vero cum pares sunt auctoritate et numero Codices, difficile est eligere. v. Act. V, 36. 1 Tim. V, 21. Io. VII, 39.

17. καὶ ἰάκωβον τὸν τοῦ ζεβεδαίου, καὶ ἰωάννην Λ. β.
τὸν ἀδελφὸν τοῦ ἰακώβου· καὶ ἐπέθηκεν αὐ-
τοῖς ὀνόματα βοανεργὲς, ὅ ἐςιν, υἱοὶ βρον-
τῆς·

18. καὶ ἀνδρέαν, καὶ φίλιππον, καὶ βαρθολο-
μαῖον, καὶ ματθαῖον, καὶ θωμᾶν, καὶ ἰάκω-
βον τὸν τοῦ ἀλφαίου, καὶ θαδδαῖον, καὶ σί-
μωνα τὸν κανανίτην,

19. καὶ ἰούδαν ἰσκαριώτην, ὃς καὶ παρέδωκεν
αὐτόν.

ΙΓ. 20. καὶ [Ἀρχή.] ἔρχονται εἰς οἶκον· καὶ συνέρ- ΛΑ. ι.
χεται πάλιν ὄχλος, ὥςε μὴ δύνασθαι αὐ-
τοὺς μήτε ἄρτον φαγεῖν.

21. καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρα-
τῆσαι αὐτόν· ἔλεγον γάρ· ὅτι ἐξέςη. [Τέ- Τέλος τῆς γ.
λος.]

22. καὶ οἱ γραμματεῖς οἱ ἀπὸ ἱεροσολύμων κα- ΛΒ. β.
ταβάντες, ἔλεγον· ὅτι βεελζεβοὺλ ἔχει, καὶ
ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει
τὰ δαιμόνια.

23. καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβο- ΛΓ. β.
λαῖς ἔλεγεν αὐτοῖς· πῶς δύναται σατανᾶς
σατανᾶν ἐκβάλλειν;

καὶ

III, 20. ΙΓ. τῇ δ. τῆς ιγ. ἑβδ. τ. κ. ἐ. ἦλθεν ὁ ἰησοῦς εἰς οἶκον καὶ συνέρχεται ὄχλος, ὥςε.

17. τοῦ ἰακώβου] τοῦ — E. αὐτοῦ + αὐτοῦ τοῦ ἰακώβου. E.

21. ἐξέςη] ἐξίςαται αὐτούς. E. v. Mill. Wetst. P. Tres interpretationes τοῦ ἐξέςη memorat Euth. Prima simplicissima et verissima.

καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύ- 24.
ναται σαθῆναι ἡ βασιλεία ἐκείνη·
καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύνα- 25.
ται σαθῆναι ἡ οἰκία ἐκείνη·
καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ με- 26.
μέρισαι, οὐ δύναται σαθῆναι, ἀλλὰ τέλος
ἔχει.
* οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελ- 27.
θὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ
Τέλος τῆς δ. καὶ ἔν τισι τῆς γ. πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν οἰκίαν
αὐτοῦ * διαρπάσῃ. [Τέλος.]
ΑΔ. β. ['Αρχή.] ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφε- 28. Δ.
θήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀν-
θρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασ-
φημήσωσιν.

ὃς

III, 28. ΙΔ. τῇ ε. τῆς ιγ. [ἐν ἄλλοις· τῇ δ. τῆς β. ἤτοι τῆς ιγ.] ἑβδ. ε. ὁ κ. ἀμὴν λέγω ὑμῖν, [ὅτι] πάντα ἀφεθήσεται.

25. σαθῆναι] ἐστάναι t στῆναι. Correctio ex graecismo. v. Wetst. ad Matth. 2, 9.

27. οὐ δύναται οὐδεὶς] οὐδεὶς δύναται.
διαρπάσει] διαρπάσῃ. A. Illud post δήσῃ *colon*, hoc *comma* postulat. t διαρπάσαι. E.

28. τὰ ἁμαρτήματα] post ἀνθρώπων reiectum. E.
καὶ βλασφημίαι] καὶ αἱ βλασφημίαι. E. Partim vocabula, τὰ ἁμαρτήματα, temere transposita, partim, quod substantiva diversi generis iunguntur, partim, quod αἱ post καὶ facile excidere *potuit*, αἱ illud probabile reddiderunt. Neque tamen est, cur quis offendat in omisso αἱ, cum addatur, ὅσας in Codd. bonis et graecis omnibus. Nisi fortasse non sit graecum e. c. ἄνθρωποι, ὅσοι παρεγένοντο.
ὅσας ἂν βλασφημήσωσιν] — E. ὅσα ἐὰν (ἂν) βλασφημήσωσιν. E.

29. ὃς δ᾽ ἂν βλασφημήσῃ ἐις τὸ πνεῦμα τὸ
ἅγιον, ὀυκ ἔχει ἄφεσιν ἐις τὸν αἰῶνα, ἀλλ᾽
ἔνοχός ἐϛιν αἰωνίου κρίσεως.
30. ὅτι ἔλεγον· πνεῦμα ἀκάθαρτον ἔχει.
31. ἔρχονται ὄυν ὁι ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ· ΛΕ. β.
καὶ ἔξω ἑϛῶτες ἀπέϛειλεν πρὸς αὐτὸν, φω-
νοῦντες αὐτόν.
32. καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν· ἐιπον δὲ αὐ-
τῷ· ἰδοὺ, ἡ μήτηρ σου καὶ ὁι ἀδελφοί σου *
καὶ αἱ ἀδελφαί σου ἔξω ζητοῦσί σε.
33. καὶ ἀπεκρίθη αὐτοῖς, λέγων· τίς ἐϛιν ἡ μή-
τηρ μου, ἢ ὁι ἀδελφοί μου;
34. καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν
καθημένους, λέγει· ἴδε ἡ μήτηρ μου καὶ ὁι
ἀδελφοί μου.
35. ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, ὄυτος
ἀδελφός μου, καὶ ἀδελφή μου, καὶ μήτηρ
ἐϛί. [Τέλος.] Τέλος τῆς ε. καὶ ἐν τισι τῆς δ. Θ. πι-

29. ἐις τὸν αἰῶνα] — E.
κρίσεως] ἁμαρτίας t ἁμαρτήματος t κολάσεως. E. v. P.
31. ὁι ἀδελφοὶ — μήτηρ αὐτοῦ] αὐτοῦ — t ἡ μήτηρ αὐτοῦ καὶ ὁι ἀδελφοὶ αὐτοῦ. E. v. P. Forte etiam ex verſ. 32.
φωνοῦντες] καλοῦντες t ζητοῦντες. E.
32. ἀδελφοί σου] + καὶ αἱ ἀδελφαί σου. A. v. P.
33. ἢ ὁι ἀδελφοὶ] καὶ ὁι ἀδελφοί. D.
34. κύκλῳ τοὺς περὶ αὐτὸν] κύκλῳ — t τοὺς κύκλῳ t τοὺς κύκλῳ περὶ αὐτὸν t τοὺς περὶ αὐτὸν κύκλῳ t τοὺς κύκλῳ περὶ αὐτὸν μαθητάς. E.
ἴδε] ἰδού. D.
35. ἀδελφή μου] μου — E.
μήτηρ] + μου. E.

Θ. περὶ τοῦ σπόρου παραβολή.

ΛΕ. β. Καὶ πάλιν ['Αρχή.] ἤρξατο διδάσκειν παρὰ IE. IV, 1.
τὴν θάλασσαν· καὶ συνήχθη πρὸς αὐτὸν ὄχ-
λος πολὺς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον,
καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος
πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν.

καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ, 2.
καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·

ἀκούετε· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. 3.

καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε πα- 4.
ρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ, * καὶ
κατέφαγεν αὐτό.

ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ 5.
εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ
τὸ μὴ ἔχειν βάθος γῆς·

ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ 6.
τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας· καὶ ἀνέ- 7.
βησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτὸ, καὶ
καρπὸν οὐκ ἔδωκε.

καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν· καὶ 8.
ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα·
καὶ

IV, 1. IE. τῇ ϛ. τῆς ιγ. [ἐν ἄλλοις· τῇ ε. τῆς β.] ἑβδ. τ. κ. ε. ἤρξατο [πάλιν διδάσκειν ὁ ἰησοῦς] ὁ ἰησοῦς διδάσκειν.

IV, 4. τὰ πετεινὰ τοῦ οὐρανοῦ] τοῦ οὐρανοῦ —.

5. ἐξανέτειλε] ἐξεβλάστησε ἢ ἐβλάστησε. E.

8. αὐξάνοντα] αὐξανόμενα. E.

καὶ ἔφερεν * ἐν τριάκοντα, καὶ * ἐν ἑξήκοντα,
καὶ * ἐν ἑκατόν.
9. καὶ ἔλεγεν· * ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.
[Τέλος.] Τέλος τῆς ϛ.
IV. 10. ὅτε δὲ ἐγένετο καταμόνας, [Ἀρχή.] ἠρώ-
τησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα
τὴν παραβολήν.
11. καὶ ἔλεγεν αὐτοῖς· ὑμῖν δέδοται γνῶναι τὸ ΔΖ. α.
μυστήριον τῆς βασιλείας τοῦ θεοῦ· ἐκείνοις δὲ
τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται·
12. ἵνα βλέποντες βλέπωσι καὶ μὴ ἴδωσι· καὶ
ἀκούοντες ἀκούωσι, καὶ μὴ συνιῶσι· μήποτε
ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτή-
ματα.

καὶ

IV, 10. 15. τῇ β. τῆς ιδ. [ἐν ἄλλοις· τῇ ϛ. της β.] ἑβδ. τ. κ. ἐ. προσῆλθον οἱ μαθηταὶ τῷ ἰησοῦ καταμόνας καὶ ἠρώτησαν αὐτὸν σὺν τοῖς δώδεκα. ἐν ἄλλοις· τ. κ. ἐ. ἠρώτησαν τὸν ἰησοῦν οἱ μαθηταὶ αὐτοῦ τὴν παραβολὴν ταύτην. ἐν ἄλλοις· τ. κ. ἐ. ἠρώτησαν τὸν ἰησοῦν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα.

ἐν ter] ἐν ter. Post priorem editionem meam ita quoque reperi in Codd. omnibus, quos postea comparavi. Synaxarium quoque, quod aliquoties in priori editione laudaveram, lectionis τῆς ϛ. τῆς β. terminum sic notat: καὶ ἐν ἑκατόν. καὶ ἔλεγεν· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

9. ἔλεγεν αὐτοῖς·] αὐτοῖς —.

10. οἱ περὶ — δώδεκα] οἱ μαθηταὶ αὐτοῦ. E. v. P. Chrys. VII, 475. e. Marco hic tribuit: κατ᾽ ἰδίαν προσῆλθον.

11. γνῶναι] — E.

12. ἀφεθῇ] ἀφεθήσεται. E. v. P. p. 64. 65.
τὰ ἁμαρτήματα] — 1 τὰ παραπτώματα. E.

καὶ λέγει αὐτοῖς· ὀυκ ὄιδατε τὴν παραβο- 13.
λὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβο-
λὰς γνώσεσθε;
ΛΗ. β. ὁ σπείρων, τὸν λόγον σπείρει. 14.
ὅυτοι δέ ἐισιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπεί- 15.
ρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, ἐυθέως
ἔρχεται ὁ σατανᾶς, καὶ ἄιρει τὸν λόγον τὸν
ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.
καὶ ὅυτοί ἐισιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη 16.
σπειρόμενοι, ὃι, ὅταν ἀκούσωσι τὸν λόγον,
ἐυθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν·
καὶ ὀυκ ἔχουσι ῥίζαν ἑαυτοῖς, ἀλλὰ πρόσ- 17.
καιροί ἐισιν· ἔιτα γενομένης θλίψεως, ἢ διωγ-
μοῦ διὰ τὸν λόγον, ἐυθέως σκανδαλίζονται.
καὶ ὅυτοί ἐισιν οἱ ἐις τὰς ἀκάνθας σπειρό- 18.
μενοι, * οἱ τὸν λόγον ἀκούοντες·
καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ 19.
ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ
ἐπιθυμίαι ἐισπορευόμεναι συμπνίγουσι τὸν λό-
γον, καὶ ἄκαρπος γίνεται.

καὶ

13. ὀυκ ὄιδατε] πῶς ὀυκ ἔγνωτε. E. Chryſ. VII, 470. c.

15. ἐν ταῖς καρδίαις αὐτῶν] ἐις αὐτοὺς t ἐν αὐτοῖς t ἀπὸ τῆς καρδίας αὐτῶν. E.

16. ὁμοίως] — E.
λαμβάνουσιν] δέχονται. E.

17. ἔιτα] ἐπάν. E. Orig. I, 308. e. nominatim Marco tribuit.

18. σπειρόμενοι, ὅυτοί ἐισιν] ὅυτοί ἐισιν.⌊v. P.
ἀκούοντες] ἀκούσαντες. E.

19. αἰῶνος τούτου] τούτου — E.

20. καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν
σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ
παραδέχονται, καὶ καρποφοροῦσιν, * ἐν τριά-
κοντα, καὶ * ἐν ἑξήκοντα, καὶ * ἐν ἑκατόν.
21. καὶ ἔλεγεν αὐτοῖς· μήτι ὁ λύχνος ἔρχεται, ΛΘ. β.
ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην;
οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;
22. οὐ γάρ ἐστι * κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ· Μ. β.
οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανε-
ρὸν ἔλθῃ.
23. εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. [Τέλος.] Τέλος τῆς β.
ΙΖ. 24. καὶ ἔλεγεν αὐτοῖς· [Ἀρχή.] βλέπετε τί ΜΑ. β.
ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται
ὑμῖν,

IV, 24. ΙΖ. τῇ γ. τῆς ιδ. [ἐν ἄλλοις· τῇ β. τῆς γ.] ἑβδ: ἑ. ὁ κ. [τοῖς ἑαυτοῦ μαθηταῖς·] βλέπετε.

20. παραδέχονται] ἀποδέχονται. E. Orig. I, 308. f.
ἐν ter] εἰς ter. v. verſ. 8. Ita h. l. etiam in ſchol. Theophyl.

21. ἔρχεται] ἅπτεται t καίεται. E. v. Euth. 96 Idem II, 63. explicat: ἄγεται, φέρεται. Sic reddi poteſt Latiniſtae illius *adfertur*. v. Griesb.
ἐπιτεθῇ] τεθῇ. E. v. P.

22. ἐστί τι] τὶ — A. Vetuſta evangeliaria hoc toto loco carent ac pluribus locis Marci. Vide in P. lectt. eccleſiaſt. p. 10. Deeſt etiam hoc ἀνάγνωσμα in Auguſtano et Gothano.
ὃ ἐὰν μὴ] ἐὰν μὴ t εἰ μὴ ἵνα t ἀλλ' ἵνα t ὃ ἂν μή. E. Ex his probabilis eſt corruptio, ὃ ἂν μή, quae a graecis venit. Non recordabantur tot exemplorum N. Teſt. ubi ἐὰν eſt loco ἄν. Hinc corruptiones.

24. μετρηθήσεται] ἀντιμετρηθήσεται. E. De toto verſu v. Wetſt. Griesb. P.

ὑμῖν, καὶ προςεθήσεται ὑμῖν, τοῖς ἀκούου-
σιν.
ΜΒ. β. ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ 25.
ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.
ΜΓ. ι. καὶ ἔλεγεν· οὕτως ἐςὶν ἡ βασιλεία τοῦ θεοῦ, 26.
ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς
γῆς,
καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέ- 27.
ραν, καὶ ὁ σπόρος βλαςάνῃ καὶ μηκύνηται
ὡς οὐκ οἶδεν αὐτός.
αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον 28.
χόρτον, εἶτα ςάχυν, εἶτα πλήρη σῖτον ἐν
τῷ ςάχυϊ.
ὅταν δὲ παραδῷ ὁ καρπὸς, εὐθέως ἀποςέλ- 29.
λει τὸ δρέπανον, ὅτι παρέςηκεν ὁ θερισμός.

καὶ

καὶ προςεθήσεται — ἀκούουσιν] — E.

τοῖς ἀκούουσιν] αὐτοῖς. E. ἀκούοντες et hic et in aliis locis ſunt ii, qui ita audiunt doctrinam Chriſtianam, ut ei etiam fidem habeant, eamque amplectantur. Ergo *credentibus* non eſt discrepans lectio, ſed proba interpretatio, ſi quidem omnino, *credo in deum*, latinum eſt. v. Griesb.

25. δοθήσεται] προςεθήσεται. E. v. Griesb.

27. καθεύδῃ — ἐγείρηται — βλαςάνῃ — μηκύνηται] καθεύδει — ἐγείρεται — βλαςάνει — μηκύνεται. D. In N. Teſt. poſt coniunctivum et particulam καὶ eſt indicativus, contra conſuetudinem linguae graecae. In his locis, diſſentientibus Codd., dubia eſt criſis. Senſus eſt: εἶτα νυκτὸς καθεύδει, καὶ ἡμέρας ἐγείρεται, τουτέςιν, ὀλιγώρως ἔχει τοῦ σπόρου. ὁ δὲ σπόρος βλαςάνει καὶ μηκύνεται.

28. γὰρ] — E. v. Orig. III, 158. c.

30. καὶ ἔλεγε· τίνι ὁμοιώσωμεν τὴν βασιλείαν ΜΔ. α.
τοῦ θεοῦ; ἢ ἐν ποίᾳ παραβολῇ παραβάλω-
μεν αὐτήν;

31. ὡς * κόκκον σινάπεως, ὃς, ὅταν σπαρῇ ἐπὶ
τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων
ἐστὶ τῶν ἐπὶ τῆς γῆς·

32. καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται
πάντων τῶν λαχάνων μείζων, καὶ ποιεῖ κλά-
δους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν
αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκη-
νοῦν.

33. καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει ΜΕ. ε.
αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν.

34. χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς·
[Τέλος.] κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ Τέλος ἐν τισι τῆς β. τῆς γ.
ἐπέλυε πάντα. [Τέλος.] Τέλος τῆς γ.

I. πι-

30. ὁμοιώσωμεν] ὁμοιάσομεν. E.

ποίᾳ] τίνι. E.

παραβολῇ παραβάλωμεν αὐτὴν] αὐτὴν παραβολῇ θῶμεν t παραβολῇ αὐτὴν θῶμεν παραβάλομεν αὐτήν. E. v. Griesb. P. Damasc. II, 383.

παραβάλωμεν] παραβαλοῦμεν. E.

31. κόκκῳ] κόκκον.

32. σπαρῇ] αὐξηθῇ t φύῃ t φυῇ. E. Augustanus, quem alibi 10. appello, βλαστήσῃ. Σπαρῇ, incommode dictum, vehementer exercuit ingenia scribarum. Miror, neminem ex Theophyl. arripuisse πλατυνθῇ.

33. πολλαῖς] — E. πολλαῖς est loco πλείοσιν. Omissis, καὶ τοιαύταις πολλαῖς, laud. Chrys. VII, 487. b.

34. ἐπέλυε] ἔλυε. E.

I. περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

ΜΞ. ι. καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας 35.
γενομένης· [Ἀρχή.] διέλθωμεν εἰς τὸ πέραν. ΙΗ.
ΜΖ. β. καὶ ἀφέντες τὸν ὄχλον, παραλαμβάνουσιν 36.
αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοι-
άρια ἦν μετ' αὐτοῦ.
καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ 37.
κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐ-
τὸ ἤδη γεμίζεσθαι.
καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκε- 38.
φάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν,
καὶ λέγουσιν αὐτῷ· διδάσκαλε, οὐ μέλει σοι
ὅτι ἀπολλύμεθα;
καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε 39.
τῇ θαλάσσῃ· σιώπα, πεφίμωσο. καὶ ἐκόπα-
σεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη.

καὶ

IV, 35. ΙΗ. τῇ δ. τῆς ιδ. [ἐν ἄλλοις, τῇ γ. τῆς γ.] ἑβδ. ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς, [ὀψίας γενομένης.] διέλθωμεν.

36. ἄλλα — μετ' αὐτοῦ] τὰ ἄλλα τὰ ὄντα μετ' αὐτοῦ πλοῖα. E.

ἄλλα δὲ πλοιάρια ἦν] ἄλλαι δὲ πλοῖαι πολλαὶ ἦσαν. E. Recenſio occidentalis apud Wetſt. Reſpicit hunc verſum Chryſ. VII, 333. b. v. P.

πλοιάρια] πλοῖα. E.

37. ἐπέβαλλεν] ἐπέβαλεν D. ἐνέβαλεν. E.

γεμίζεσθαι] βυθίζεσθαι ł καταποντίζεσθαι. E. Displicebat graecis, ut alibi alia, γεμίζεσθαι.

38. ἐπὶ τῇ] ἐν τῇ. E.

προσκεφάλαιον] Hoc προσκεφάλαιον Marco et Lucae dat Chryſ. VII, 333 d. Domino reddunt Theophyl. ad h. l. et Euth. I, 329. v. Euth. 154.

καθεύδων] καθήμενος. E. Cyrillus ex recenſione

Ale-

40. καὶ εἶπεν αὐτοῖς· τί δειλοί ἐστε οὕτω; πῶς
οὐκ ἔχετε πίστιν;
41. καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον
πρὸς ἀλλήλους· τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ
ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;
[Τέλος.] Τέλος τῆς δ.
ΙΘ. V, 1. Καὶ [Ἀρχή.] ἦλθον εἰς τὸ πέραν τῆς θα-
λάσσης, εἰς τὴν χώραν τῶν γαδαρηνῶν.

ΙΑ. περὶ τοῦ λεγεῶνος.

2. καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως
ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος
ἐν πνεύματι ἀκαθάρτῳ·

ὃς

V, 1. ΙΘ. τῇ ε. τῆς ιδ. [ἐν ἄλλοις· τῇ δ. τῆς γ.] ἑβδ. τ. κ. ε. ἦλθεν ὁ ἰησοῦς [εἰς τό.] πέραν τῆς θαλάσσης. Alexandrina hunc locum refert III, 377. b. Magis enim Marcum, quam Matthaeum videtur reſpexiſſe.

40. οὕτω] — E.

πῶς οὐκ] οὔπω. E.

V, 1. ἦλθον] ἦλθεν. E.

τῆς θαλάσσης] — E.

γαδαρηνῶν] γερασηνῶν t γεργεσηνῶν. E. v. P. Theophyl. accuratioribus Codd. tribuit γεργεσηνῶν. Quam callide ſe axpediverit Chryſ. dixi alibi. Videtur tamen omnino probare γαδαρηνῶν. Nam VII, 342. c. memorat τοὺς ἐν γαδήροις. Cyrill. V, d. 90. c. γεργεσηνῶν videtur praeferre. Origenes interpretibus et ſcribis expectoravit mentem et corrumpendis Codd. occaſionem praebuit. Wetſt. ad Matth. 8, 28. arbitratur, ſaltem eodem modo ſcribendum eſſe apud tres evangeliſtas. Mihi tamen apud Matthaeum hoc violentum videtur, cum praeſertim non ſit extra omnem dubitationem, eum rem eandem memoraſſe. Aliter haec Euth. expedivit, forte tamen non ſatis probabiliter.

2. ἀπήντησεν] ὑπήντησεν. E.

ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς * μνήμασι, 3.
καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἐδύνατο αὐτὸν
δῆσαι·
διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι 4.
δεδέσθαι, καὶ διεσπᾶσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύ-
σεις, καὶ τὰς πέδας συντετρίφθαι, καὶ οὐ-
δεὶς αὐτὸν ἴσχυε δαμάσαι·
καὶ διαπαντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρε- 5.
σι καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων καὶ κα-
τακόπτων ἑαυτὸν λίθοις.
ἰδὼν δὲ τὸν ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε 6.
καὶ προσεκύνησεν αὐτῷ·
καὶ κράξας φωνῇ μεγάλῃ, εἶπε· τί ἐμοὶ καὶ 7.
σοὶ, ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; ὁρκίζω
σε τὸν θεὸν, μή με βασανίσῃς.
ἔλεγε γὰρ αὐτῷ· ἔξελθε τὸ πνεῦμα τὸ ἀκά- 8.
θαρτον ἐκ τοῦ ἀνθρώπου.

καὶ

3. μνημείοις] μνήμασι.

4. διὰ τὸ — δαμάσαι] διὰ τὸ αὐτὸν πολλὰς πέδας καὶ ἁλύσεις, ἃς ἔδησαν αὐτὸν, διεσπακέναι καὶ συντετριφέναι, καὶ οὐδεὶς ἴσχυσεν αὐτὸν δαμάσαι l. ὅτι πολλάκις αὐτὸν δεδεμένον πέδαις καὶ ἁλύσεσιν, ἐν αἷς ἔδησαν, διεσπακέναι καὶ τὰς πέδας συντετριφέναι, καὶ μηδένα αὐτὸν ἰσχύειν δαμάσαι. E.

αὐτὸν ἴσχυε] ἴσχυεν αὐτόν. E.

ἴσχυε] ἴσχυσε. A.

5. ὄρεσι καὶ ἐν τοῖς μνήμασιν] μνήμασι καὶ ἐν τοῖς ὄρεσιν. D. Respicit hunc locum Chryſ. VII, 336. a.

6. ἀπὸ μακρόθεν] ἀπὸ — D.

7. εἶπε] λέγει. D. Huc respicit Chryſ. VII, 335. d.

9. καὶ ἐπηρώτα αὐτόν· τί σοι ὄνομα; καὶ ἀπε-
κρίθη λέγων· λεγεὼν ὄνομά μοι, ὅτι πολλοί
ἐσμεν.

10. καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς
ἀποστείλῃ ἔξω τῆς χώρας.

11. ἦν δὲ ἐκεῖ πρὸς * τῷ ὄρει ἀγέλη χοίρων με-
γάλη βοσκομένη·

12. καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες,
λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς χοίρους,
ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.

13. καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ ἰησοῦς. καὶ
ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα,
εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ
ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν·
ἦσαν δὲ ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ
θαλάσσῃ.

14. οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον, καὶ
ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς
ἀγρούς· καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός.

καὶ

9. ἀπεκρίθη λέγων] λέγει. E.
λεγεὼν] λεγιών. E. v. P. Birch. λεγεὼν etiam Orig.
II, 537.

11. πρὸς τὰ ὄρη] — E. πρὸς τῷ ὄρει.
μεγάλη] + πολλῶν t — E.

12. παρεκάλεσαν] παρεκάλουν. E.
πάντες οἱ δαίμονες] — t πάντες — E.

14. τοὺς χοίρους] αὐτούς. E.
ἀνήγγειλαν] ἀπήγγειλαν. D.
ἐξῆλθον] ἦλθον. D.

καὶ ἔρχονται πρὸς τὸν ἰησοῦν, καὶ θεωροῦσι 15.
τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμέ-
νον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λε-
γεῶνα· καὶ ἐφοβήθησαν.

* διηγήσαντο * δὲ αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγέ- 16.
νετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοί-
ρων.

Τέλος ἔν τισι τῆς ι. καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν 17.
ἀπὸ τῶν ὁρίων αὐτῶν. [Τέλος.]

ΜΗ. η. καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρε- 18.
κάλει αὐτὸν ὁ δαιμονισθεὶς, ἵνα ᾖ μετ' αὐ-
τοῦ.

ὁ δὲ ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν, ἀλλὰ λέγει 19.
αὐτῷ· ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς
σοὺς, καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ κύ-
ριος * πεποίηκε, καὶ ἐλέησέ σε.

Τέλος τῆς ι. Ἰστέον δὲ, ὅτι ἐν ἄλλοις τελειοῖ μετὰ τὸ, ὁρίων αὐτῶν, [v. 17.]

καὶ ἀπῆλθε, καὶ ἤρξατο κηρύσσειν ἐν τῇ 20.
δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ ἰησοῦς· καὶ
πάντες ἐθαύμαζον. [Τέλος.]

ΙΒ. περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.

ΜΘ. β. ἐν ἄλλοις, μετὰ τὸ, ὁ ἰησοῦς. [v. 20.]

καὶ διαπεράσαντος τοῦ ἰησοῦ ἐν τῷ πλοίῳ 21.
πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς
ἐπ' αὐτόν· καὶ ἦν παρὰ τὴν θάλασσαν.

καὶ

15. τὸν ἐσχηκότα τὸν λεγεῶνα] — E.
16. καὶ διηγήσαντο] διηγήσαντο δέ.
18. ἐμβάντος] ἐμβαίνοντος. D.
δαιμονισθεὶς] δαιμονιζόμενος l ἰαθείς. E.
19. ὁ δὲ ἰησοῦς] καί. D.
ἀνάγγειλον] ἀπάγγειλον l διάγγειλον. E.
ἐποίησε] πεποίηκε.

K. 22. καὶ ἰδοὺ [Ἀρχή.] ἔρχεται εἷς τῶν ἀρχισυνα-
γώγων, ὀνόματι ἰάειρος· καὶ ἰδὼν αὐτὸν, πί-
πτει πρὸς τοὺς πόδας αὐτοῦ·

23. καὶ παρεκάλει αὐτὸν πολλὰ, λέγων· ὅτι τὸ
θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα ἐλθὼν
ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ· καὶ
ζήσεται.

KA. 24. καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ [Ἀρχή.] ἠκο-
λούθει αὐτῷ ὄχλος πολὺς, καὶ [Ὑπέρβα.] Ὑπέρβα εἰς τὸ τῆς ϛ.
συνέθλιβον αὐτόν.

ΙΓ. περὶ τῆς αἱμοῤῥοούσης.

25. καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώ-
δεκα,

26. καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν,
καὶ δαπανήσασα τὰ παρ' * αὐτῆς πάντα,
καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς
τὸ χεῖρον ἐλθοῦσα·

27. ἀκούσασα περὶ τοῦ ἰησοῦ, ἐλθοῦσα ἐν τῷ
ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ.

28. ἔλεγε γάρ· ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψω-
μαι, σωθήσομαι.

καὶ

V, 22. K. τῇ ϛ. τῆς ιδ. [ἐν ἄλλοις, τῇ ε. τῆς γ.] ἑβδ. τ. κ. ἐ. ἔρχεται πρὸς τὸν ἰησοῦν [ὁ.] εἷς.

V, 24. KA. τῇ β. τῆς μ. ἑβδ. καὶ τῆς ἁγίας βαρβάρας. καὶ ἐν ἄλλῳ, τῆς ἁγίας κιλιλίας· τ. κ. ἐ. ἠκολού-θησαν τῷ ἰησοῦ ὄχλοι πολλοὶ καὶ συνέθλιβον.

23. παρεκάλει] παρακαλεῖ. E.

26. ἑαυτῆς] αὐτῆς.

28. γὰρ] + ἐν ἑαυτῇ. E.

καὶ ἐυθέως ἐξηράνθη ἡ πηγὴ τοῦ ἅιματος 29.
αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ
τῆς μάστιγος.
καὶ ἐυθέως ὁ ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν 30.
ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν
τῷ ὄχλῳ, ἔλεγε· τίς μου ἥψατο τῶν ἱμα-
τίων;
καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις 31.
τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· τίς
μου ἥψατο;
καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. 32.
ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, ἐιδυῖα 33.
ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν
αὐτῷ, καὶ ἔιπεν αὐτῷ πᾶσαν τὴν ἀλή-
θειαν.

Τέλος τῆς ἁγίας καὶ τῆς β. Τέλος ἔν τισι τῆς ε. Ἄρξου τῆς ς. καὶ ἔρχονται.

ὁ δὲ ἔιπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέ- 34.
σωκέ σε· ὕπαγε ἐις ἐιρήνην, [Τέλος.] καὶ ἴσθι
ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. [Τέλος.]
ἔτι αὐτοῦ [Ἀρχή.] λαλοῦντος, [Ἄρξου.] ἔρ- 35. ΚΑ.
χονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες·
ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις
τὸν διδάσκαλον;
ὁ δὲ ἰησοῦς, ἐυθέως ἀκούσας τὸν λόγον λα- 36.
λούμενον, λέγει τῷ ἀρχισυναγώγῳ· μὴ φο-
βοῦ, μόνον πίστευε.

καὶ

V, 35. ΚΑ. τῇ ς. τῆς γ. ἑβδ. ἔν τισι· τ. κ. ἑ. λαλοῦντος τοῦ ἰησοῦ πρὸς τοὺς ὄχλους ἔρχονται.

29. ἴαται] ἰᾶται D. ἰάθη. E. ἰᾶται in N. Teſt. probari poſſit, ut duplici modo tentatum. Sed Codd. poſtulant ἴαται.

37. καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν ἰακώβου.

38. καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, κλαίοντας καὶ ἀλαλάζοντας πολλά.

39. καὶ εἰσελθὼν λέγει αὐτοῖς· τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

40. καὶ κατεγέλων αὐτοῦ. ὁ δὲ ἐκβαλὼν * πάντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον.

41. καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ· ταλιθὰ κοῦμι· ὅ ἐστι μεθερμηνευόμενον· τὸ κοράσιον, σοὶ λέγω, ἔγειραι.

42. καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα· καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ.

43. καὶ διεστείλατο αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

Καὶ

38. κλαίοντας] καὶ κλαίοντας. D.
40. ἅπαντας] πάντας.
ἀνακείμενον] — t κείμενον t κατακείμενον t καταβεβλημένον t κατακεκλιμένον. E.
41. ταλιθὰ κοῦμι] Chryſ. I, 532. VIII, 139. ταλιθὰ, ἀνάστηθι. v. Euth. II, 84.
ἔγειραι] ἔγειρε. A. ἐγεῖρον. E.

N. α. Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ['Αρχή.] ἦλθεν VI, 1. KB.
εἰς τὴν πατρίδα αὐτοῦ· καὶ ἀκολουθοῦσιν
Τέλος τῆς ϛ. αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. [Τέλος.]
καὶ ἐν τισι τῆς ϛ. τῆς γ. καὶ γενομένου σαββάτου, [Αρχή.] ἤρξατο 2. KB.
ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκού-
οντες ἐξεπλήσσοντο, λέγοντες· πόθεν τούτῳ
ταῦτα; καὶ, τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, *
καὶ, δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐ-
τοῦ γίνονται;
οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς μαρίας, ἀδελ- 3.
φὸς δὲ ἰακώβου καὶ ἰωσῆ καὶ ἰούδα καὶ σί-
μωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε
πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.
NA. α. ἔλεγε δὲ αὐτοῖς ὁ ἰησοῦς· ὅτι οὐκ ἔστι προφή- 4.
της ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ
ἐν τοῖς συγγενέσι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

καὶ

VI, 1. KB. τῇ γ. τῆς ιε. ἑβδ. τ. κ. ἰ. ἦλθεν ὁ ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ.

VI, 2. KB. τῇ β. τῆς δ. ἑβδ. ἐν τισι· τ. κ. ἰ. ἤρξατο ὁ ἰησοῦς ἐν τῇ συναγωγῇ διδάσκειν.

VI, 1. καὶ ἦλθεν] — t καὶ ἔρχεται. E. Orig. III, 461. f. vulgatum servat.

2. ἀκούοντες] ἀκούσαντες. E.

ἐξεπλήσσοντο] + ἐπὶ τῇ διδαχῇ αὐτοῦ. E.

ὅτι καὶ δυνάμεις] ἵνα καὶ δυνάμεις E. ὅτι — v. P.

γίνονται] γίνωνται in iis, qui ἵνα habent. E.

3. ὁ τέκτων, ὁ υἱὸς] ὁ τοῦ τέκτονος υἱὸς καὶ. E. v. P. Orig. I, 659. d. ibique notam a.

ἐν αὐτῷ] ἐπ' αὐτῷ. E.

4. ἐν τῇ πατρίδι] Orig. III, 133. a. ἐν τῇ ἰδίᾳ πατρίδι καὶ τῇ οἰκίᾳ αὐτοῦ. Ex quo evangelista? Ex Alexandrino.

5. καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε.

6. καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. [Τέλος.] καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων. NB. β. Τέλος ἐν τισι. τῆς β. τῆς δ.

ΙΔ. περὶ τῆς ἀποστολῆς τῶν δώδεκα.

ΚΓ. 7. καὶ [Ἀρχή.] προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. [Τέλος.] ΝΓ. β. Τέλος τῆς γ.

8. καὶ παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν, εἰ μὴ ῥάβδον μόνον· μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν·

9. ἀλλ' ὑποδεδεμένους σανδάλια· καὶ μὴ * ἐνδύσησθε δύο χιτῶνας.

10. καὶ ἔλεγεν αὐτοῖς· ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. ΝΔ. β.

11. καὶ ὅσοι * ἐὰν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, ΝΕ. β.

εἰς

VI, 7. ΚΓ. τῇ δ. τῆς ια. ἑβδ. καὶ αὐγούστου ζ. [ἐν ἄλλοις. καὶ εἰς τὸν ἅγιον ἀπόστολον μάρκον καὶ εἰς λοιποὺς ἀποστόλους, καὶ ἐπὶ ἐλαίῳ ἀῤῥώστου·] τ. κ. ε. προσκαλεῖται ὁ ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ καὶ ἤρξατο.

5. δύναμιν ποιῆσαι] Orig. III, 466. c. f. nominatim ποιῆσαι δύναμιν.

9. ἐνδύσασθαι] ἐνδεδῦσθαι t ἐνδύσασθε. E. ἐνδύσησθε.

11. ὅσοι ἂν] ὅσοι ἐάν.

εἰς μαρτύριον αὐτοῖς. ἀμὴν λέγω ὑμῖν, ἀνε-
κτότερον ἔσται σοδόμοις ἢ γομόῤῥοις ἐν ἡμέρᾳ
κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.
καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι· 12.
ΝΣ. η. καὶ δαιμόνια πολλὰ ἐξέβαλλον· καὶ ἤλειφον 13.
ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον.
Τέλος τῆς δ. [Τέλος]

ΙΕ. περὶ ἰωάννου καὶ ἡρώδου.

ΝΖ. β. καὶ [Ἀρχή.] ἤκουσεν ὁ βασιλεὺς ἡρώδης· φα- 14. ΚΔ.
νερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ· καὶ ἔλε-
γεν· ὅτι ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρ-
θη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις * ἐν
αὐτῷ.
ἄλλοι ἔλεγον· ὅτι ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλε- 15.
γον· ὅτι προφήτης ἐστὶν, * ὡς εἷς τῶν προ-
φητῶν.

ἀκου-

VI, 14. ΚΔ. αὐγούστῳ κθ. τῆς λειτουργίας, τῇ ἀποτομῇ τοῦ προδρόμου· τ. κ. ἐ. ἤκουσεν ἡρώδης ὁ βασιλεὺς τὴν ἀκοὴν ἰησοῦ· φανερόν.
ἀμὴν — πόλει ἐκείνῃ] — E. v. P.

14. ἡρώδης] + περὶ ἰησοῦ t. τὴν ἀκοὴν ἰησοῦ. E. v. P. Orig. III, 467. d. recitat Matth. 14, 1. additque, ita quoque legi apud Marc. et Luc. Mentitur.
ἔλεγεν] ἔλεγον. E.
ἠγέρθη] ἀνέστη. B. v. P. Wetst. Ita quidem habet Theophyl. sed in interpretatione, non in textu. Nec aliter est in eius Codd. uti nec in aliis, quos novissime tractavi.

15. ἄλλοι prius] + δέ. E.
ἄλλοι δὲ] δὲ — E.
προφήτης] ὁ προφήτης. E. Haec lectio in caussa fuit, cur non nulli mox adderent ἤ. v. P. Euth. II. 92.
ὁ εἷς] ὁ —

16. ἀκούσας δὲ * ἡρώδης, εἶπεν· ὅτι ὃν ἐγὼ ἀπε- ΝΗ. ς.
κεφάλισα ἰωάννην, οὗτός ἐϛιν, αὐτὸς ἠγέρθη
ἐκ νεκρῶν.
17. αὐτὸς γὰρ ὁ ἡρώδης, ἀποϛείλας ἐκράτησε ΝΘ. β.
τὸν ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν *· φυλακῇ
διὰ ἡρωδιάδα τὴν γυναῖκα φιλίππου τοῦ
ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.
18. ἔλεγε γὰρ ὁ ἰωάννης τῷ ἡρώδῃ· ὅτι οὐκ ἔξε-
ϛί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.
19. ἡ δὲ ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐ-
τὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο.
20. ὁ γὰρ ἡρώδης ἐφοβεῖτο τὸν ἰωάννην, εἰδὼς
αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετή-
ρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει,
καὶ ἡδέως αὐτοῦ ἤκουε.
21. καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε ἡρώδης Ξ. α.
τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγι-
ϛᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς
πρώτοις τῆς γαλιλαίας,

καὶ

16. ὁ ἡρώδης] ὁ —.
οὗτός ἐϛιν, αὐτὸς] οὗτος ἐ αὐτός. E.
17. ἔδησεν] ἔβαλεν ἐ ἔθηκεν. E. v. P.
ἐν τῇ φυλακῇ] τῇ — E.
18. γυναῖκα] + φιλίππου. E.
20. ἐφοβεῖτο] Chryſ. VII, 495. d. Marco tribuit: σφόδρα ἐτίμα τὸν ἄνδρα.
ἅγιον] ὅσιον. E.
ἀκούσας] ἀκούων. E.

καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς 22.
ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης
τῷ ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ
βασιλεὺς τῷ κορασίῳ· αἴτησόν με ὃ ἐὰν θέ-
λης, καὶ δώσω σοί·

καὶ ὤμοσεν αὐτῇ· ὅτι ὃ ἐάν με αἰτήσῃς, δώ- 23.
σω σοί, ἕως ἡμίσους τῆς βασιλείας μου.

ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρὶ αὐτῆς· τί 24.
αἰτήσομαι; ἡ δὲ εἶπε· τὴν κεφαλὴν ἰωάννου
τοῦ βαπτιστοῦ·

καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς 25.
τὸν βασιλέα, ᾐτήσατο λέγουσα· θέλω ἵνα
μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν
ἰωάννου τοῦ βαπτιστοῦ.

καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ 26.
τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ
ἠθέλησεν αὐτὴν ἀθετῆσαι.

καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκου- 27.
λάτωρα, ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν
αὐτοῦ.

ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ 28.
φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ
ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ·
καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐ-
τῆς.

καὶ

23. ὤμοσεν] ὡμολόγησεν. E. v. Euth. I, 575.

26. ἠθέλησεν] ἤθελεν. E. Chryſ. IX, 110. a.

29. καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον
καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐ-
τὸ ἐν * μνημείῳ.

ΚΕ. 30. καὶ [Ἀρχή.] συνάγονται οἱ ἀπόστολοι πρὸς ΞΑ. ν.
τὸν ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα,
καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. [Τέ- Τέλος τοῦ
λος.] προδρόμου.

31. καὶ εἶπεν αὐτοῖς· δεῦτε ὑμεῖς αὐτοὶ κατ' ΞΒ. ι.
ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλί-
γον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγον-
τες πολλοί· καὶ οὐδὲ φαγεῖν * εὐκαίρουν.

32. καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ'
ἰδίαν,

33. καὶ εἶδον αὐτοὺς ὑπάγοντας· * καὶ ἐπέγνωσαν
* αὐτοὺς πολλοί· καὶ πεζῇ ἀπὸ πασῶν τῶν
πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτοὺς,
καὶ συνῆλθον πρὸς αὐτόν. [Τέλος.] Τέλος ἐν τισι
τῆς α.

15. πι-

VI, 30. ΚΕ. τῇ ε. τῆς ιε. ἑβδ. τ. κ. ἐ. συνάγονται οἱ ἀπόστολοι.

29. τῷ μνημείῳ] τῷ —

30. καὶ ὅσα prius] καὶ — E.

31. ηὐκαίρουν] εὐκαίρουν. A.

32. ἀπῆλθον] ἀπῆλθεν. E.

33. ὑπάγοντας οἱ ὄχλοι] οἱ ὄχλοι —.

αὐτοὺς πολλοί] αὐτοὺς πολλοί. Reperi quoque ita in Codd. poſt primam editionem meam.

καὶ προῆλθον — πρὸς αὐτὸν] — E. In Cod. Aug. 10. inveni: καὶ προῆλθεν αὐτὸς, quod per ſe non eſt abſurdum. Sed iſte Codex nullam auctoritatem contra ceteros habet. Offendebant aliqui in repetitis compoſitis ex ἐλθεῖν, quae tamen alibi etiam

iup-

ΙΒ. περὶ τῶν πέντε ἄρτων.

κγ. ϛ. καὶ [Ἀρχή.] ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν 34. ΚΕ.
ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι
ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ
ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

κδ. α. καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόν- 35.
τες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν· ὅτι
ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή.

ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς 36.
κύκλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν ἑαυ-
τοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.

ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· δότε αὐτοῖς 37.
ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· ἀπελθόν-
τες ἀγοράσωμεν * δηναρίων διακοσίων ἄρτους,
καὶ δῶμεν αὐτοῖς φαγεῖν;

ὁ δὲ λέγει αὐτοῖς· πόσους ἄρτους ἔχετε; 38.
ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες, λέγουσι·
πέντε, καὶ δύο ἰχθύας.

καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμ- 39.
πόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ.

καὶ ἀνέπεσον πρασιαὶ πρασιαί, ἀνὰ ἑκατὸν 40.
καὶ ἀνὰ πεντήκοντα.

καὶ

VI, 34. ΚΕ. τῇ γ. τῆς δ. ἑβδ. ἐν τισι· τ. κ. ἐ. ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον καί.

iungit Marcus. Accedebat praeterea confusum πρὸ et πρός. Item προσελθεῖν cum accusativo.

34. ὁ Ἰησοῦς] — E. v. P.

37. ἀγοράσωμεν] ἀγοράσομεν. E. v. Euth. 125. Mox Theophyl. in schol. δώσωμεν.

διακοσίων δηναρίων] δηναρίων διακοσίων.

39. ἀνακλῖναι] ἀνακλιθῆναι. E. v. P.

41. καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς
δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν,
εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους, καὶ
ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσιν
αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι.
42. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν·
43. καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλή-
ρεις, καὶ ἀπὸ τῶν ἰχθύων.
44. καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους, * πεντα-
κισχίλιοι ἄνδρες.
ΚΞ. 45. καὶ εὐθέως [Ἀρχή.] ἠνάγκασε τοὺς μαθη- ΞΕ. ϛ.
τὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προ-
άγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδὰν, ἕως Τέλος τῆς ε.
αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. [Τέλος.] καὶ ἐν τισι
τῆς γ. τῆς δ.
46. καὶ ἀποταξάμενος αὐτοῖς, ἀπῆλθεν εἰς τὸ ΞϚ. β.
ὄρος προσεύξασθαι.

ΙΖ. περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

47. καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ ΞΖ. δ.
τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς
γῆς.
48. καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύ-
νειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς· καὶ
περὶ

VI. 45. ΚΞ. τῇ ϛ. τῆς ιε. [ἐν ἄλλοις τῇ δ. τῆς δ.] ἑβδ. τ. κ. ἑ. ἠνάγκασεν ὁ ἰησοῦς τοὺς μαθητάς. [τοὺς μαθητὰς αὐτοῦ ὁ ἰησοῦς.]

44. ὡσεὶ πεντακισχίλιοι] ὡσεὶ —.

45. προάγειν] + αὐτόν. E. In uno reperit Wetst. αὐτούς. Ita et ego in uno Zittauiensi.

πρὸς] εἰς. E. v. P. Mox multi Codd. ἀπολύσει.

περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται
πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης·
καὶ ἤθελε παρελθεῖν αὐτούς.
οἱ δὲ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς 49.
θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέ-
κραξαν·
πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν. 50.
καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει
αὐτοῖς· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.
ΖΗ. ϛ. καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον· καὶ 51.
ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν
ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον.
οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν γὰρ * αὐ- 52.
τῶν ἡ καρδία πεπωρωμένη.
ΖΘ. β. καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν γεν- 53.
Τέλος τῆς ϛ. νησαρὲτ, [Τέλος.] καὶ προσωρμίσθησαν.
καὶ [Ἀρχή.] ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, 54. ΚΖ.
εὐθέως ἐπιγνόντες αὐτὸν,

περι-

VI, 54. ΚΖ. τῇ β. τῆς ιϛ. [ἐν ἄλλοις, τῇ ε. τῆς δ.] ἑβδ.
τ. κ. ἰ. [ἐξελθὼν ὁ ἰησοῦς.] ἐξελθόντος τοῦ ἰησοῦ ἐκ
τοῦ πλοίου [εὐθέως.] ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τῆς
γῆς γεννησαρὲτ.

50. θαρσεῖτε κ. τ. λ.] Orig. II, 744. c.

52. ἡ καρδία αὐτῶν] αὐτῶν ἡ καρδία. Vulgari ordine Chryſ. VII, 505. c.

53. γεννησαρὲτ] γεννησαρὲτ t γεννησαρὲθ t γεννησαρέθ. Ioſephus ἐξελληνίζων habet γεννησαρὶς λίμνη. v. Wetſt. ad Matth. 14. 34.

καὶ προσωρμίσθησαν] — E. v. P.

54. ἐπιγνόντες αὐτὸν] Evangeliaria alia alia addunt h. l.

in

55. περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐςί.

56. καὶ ὅπου ἂν εισεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἥπτοντο αὐτοῦ, ἐσώζοντο. [Τέλος.] Τέλος ἔν τισι τῆς β.

ΙΗ. περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ.

ΚΖ VII,1. Καὶ [Ἀρχή.] συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων. Ο. ι.

ναῖς

VII, 1. ΚΖ. ἐν ἑνὶ καὶ τοῦτο εὗρον τὸ ἀνάγνωσμα. τῇ ε. τῆς ιγ. ἑβδ. τ. κ. ε. παραγίνονται πρὸς τὸν Ἰησοῦν οἱ Φαρισαῖοι, ἕως, τῶν ἀνθρώπων. [v. 8.] in principio lectionis v. P. Ex his corrupti ſunt Codices alii. Vetuſta evangeliatia hac lectione carent. Igitur etiam deeſt in Aug. 4. Sed nec in Gothano legitur. Ergo hae corruptiones recentiores ſunt. Hinc iudicare licet de non nullorum Codd. aetate. Viri docti inter Anglos, quibus ad manus eſt evangeliarium Harleï. 5598. Muſ. Brit. de quo Woide in praeſ. ad Cod. Alex. (non pag. 11. ſed) pag. 15. et hic et alibi de huiuſcemodi animadverſionibus meis iudicare poſſunt. Ipſe nunquam iſtum Codicem vidi, ſed plures ſimiles.

55. περιδραμόντες] περιέδραμον, et mox, καὶ ἤρξαντο. E. v. P.

περιφέρειν] φέρειν t ἐπιφέρειν. E.

56. ἐτίθουν] ἐτίθεσαν. E.

καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοι- 2.
ναῖς χερσὶ, τοῦτ' ἔστιν ἀνίπτοις, ἐσθίοντας ἄρ-
τους, ἐμέμψαντο.

οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν 3.
μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθί-
ουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυ-
τέρων·

καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ 4.
ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλα-
βον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξε-
στῶν καὶ χαλκίων καὶ κλινῶν.

ἐπ-

VII, 2. ἐσθίοντας] + τούς. E.

ἐμέμψαντο] — C. v. P. Antiquissima evangeliaria omittunt pleraque huius capitis. Habent enim solum ἀνάγνωσμα VII, 31 — 37. Codices post priorem edit. meam a me comparati servant omnes ἐμέμψαντο praeter Aug. 2. Constructionem tam diu suspensam apud Marcum non inveni, nisi quis huc trahere velit XV, 42, 43.

4. βαπτίσωνται] ῥαντίσωνται. E. v. P. Euth. I, 605 II, 446. De eodem more Iudaeorum exponit Clem. Alex. p. 531. c. ubi etiam βαπτίζειν habet. ἀπὸ ἀγορᾶς, quod non nullis offensioni fuit, est vel ἀπὸ ἀγορᾶς, nimirum ἐπανελθόντες, aut simpliciter, *post forum, post forensia negotia.* Sic apud medicos ἀπὸ notat *post* in illa formula, ἀπὸ δείπνου ἐμεῖν· vel ἀπὸ ἀγορᾶς ἐσθίειν, nimirum τὰ ἐωνημένα, τὰ ὀψώνια.

χαλκίων] χαλκείων. v. P. Sic et Chrys. VII, 520. c. d.

καὶ κλινῶν] — E.

ΚΗ. 5. ἔπειτα [Ἀρχή.] ἐπερωτῶσιν αὐτὸν ὁι Φαρι- ΟΛ. ϛ.
σαῖοι καὶ ὁι γραμματεῖς· διατί ὁι μαθηταί
σου ὀυ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν
πρεσβυτέρων, ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσι
τὸν ἄρτον;
6. ὁ δὲ ἀποκριθεὶς, ἔιπεν αὐτοῖς ὅτι καλῶς
προεφήτευσεν ἠσαΐας περὶ ὑμῶν τῶν ὑποκρι-
τῶν· ὡς γέγραπται· ὅυτος ὁ λαὸς τοῖς χεί-
λεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω
ἀπέχει ἀπ᾽ ἐμοῦ.
7. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκα-
λίας, ἐντάλματα ἀνθρώπων.
8. ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε
τὴν παράδοσιν τῶν ἀνθρώπων, [Τέλος.] βα- Τέλος τῆς β.
πτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρ-
όμοια τοιαῦτα πολλὰ ποιεῖτε.
9. καὶ ἔλεγεν αὐτοῖς· καλῶς ἀθετεῖτε τὴν ἐν-
τολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τη-
ρήσητε.
10. μωυσῆς γὰρ ἔιπε· τίμα τὸν πατέρα σου καὶ
τὴν μητέρα σου· καί· ὁ κακολογῶν πατέρα
ἢ μητέρα, θανάτῳ τελευτάτω·
11. ὑμεῖς δὲ λέγετε· ἐὰν ἔιπῃ ἄνθρωπος τῷ πα-
τρὶ

VII, 5. ΚΗ. τῇ γ. τῆς ιϛ. ἑβδ. τ. κ. ἐ. ἐπηρώτησαν ὁι γραμματεῖς καὶ ὁι Φαρισαῖοι τὸν ἰησοῦν· διατί ὁι μαθηταί σου ὀυ περιπατοῦσι.

5. ἔπειτα] καί. E. v. P.

9. τηρήσητε] στήσητε. E.

11. ὅ ἐςι δῶρον] — E. Chryſ. VII, 522 c.

τρὶ ἢ τῇ μητρί· κορβᾶν· ὅ ἐςι, δῶρον· ὃ ἐὰν
ἐξ ἐμοῦ ὠφεληθῇς.
καὶ ὀυκέτι ἀφίετε ἀυτὸν ὀυδὲν ποιῆσαι τῷ 12.
πατρὶ ἀυτοῦ ἢ τῇ μητρὶ ἀυτοῦ,
ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ παραδό- 13.
σει ὑμῶν, ᾗ παρεδώκατε· καὶ παρόμια τοι-
αῦτα πολλὰ ποιεῖτε.
καὶ [Ἀρχή.] προσκαλεσάμενος πάντα τὸν 14. ΚΘ.
ὄχλον, ἔλεγεν ἀυτοῖς· ἀκούετέ μου πάντες,
καὶ συνίετε.
ὀυδέν ἐςιν ἔξωθεν τοῦ ἀνθρώπου ἐισπορευόμε- 15.
νον ἐις ἀυτὸν, ὃ δύναται ἀυτὸν κοινῶσαι· ἀλ-
λὰ τὰ ἐκπορευόμενα ἀπ᾽ ἀυτοῦ, ἐκεῖνά ἐςι
Τέλος τῆς γ. τὰ κοινοῦντα τὸν ἄνθρωπον.
καὶ ἐν τισι, τῆς ε. τῆς δ. ἔι τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. [Τέλος.] 16.
ΟΒ. ς. καὶ ὅτε [Ἀρχή.] ἐισῆλθεν ἐις ὄικον ἀπὸ τοῦ 17. ΚΘ.
ὄχλου, ἐπηρώτων ἀυτὸν ὀι μαθηταὶ ἀυτοῦ
περὶ τῆς παραβολῆς.
καὶ λέγει ἀυτοῖς· ὅυτω καὶ ὑμεῖς ἀσύνετοί 18.
ἐςε; ὀυ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν ἐισπορευ-
όμενον ἐις τὸν ἄνθρωπον ὀυ δύναται ἀυτὸν
κοινῶσαι;

ὅτι

VII, 14. ΚΘ. τῇ δ. τῆς ιϛ. ἑβδ. τ. κ. ἐ. προσκαλεσάμενος ὁ ἰησοῦς πάντα.

VII, 17. ΚΘ. τῇ ϛ. τῆς δ. ἑβδ. ἐν τισι. τ. κ. ἐ. ἐισῆλθεν ὁ ἰησοῦς ἐις ὄικον ἀπὸ τοῦ ὄχλου καὶ ἐπηρώτων.

14. πάντα] πάλιν. E.

16. — E. v. P.

17. περὶ τῆς παραβολῆς] τὴν παραβολήν. E.

18. ὀυ νοεῖτε] ὄυπω νοεῖτε. E.

19. ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν· καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

20. ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

21. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

22. κλοπαὶ, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη.

23. πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.

Λ. 24. καὶ ἐκεῖθεν ἀναστὰς [Ἀρχή.] ἀπῆλθεν εἰς τὰ μεθόρια τύρου καὶ σιδῶνος. [Τέλος.] καὶ εἰσελθὼν εἰς * οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνήθη λαθεῖν.

Τέλος ἔν τισι τῆς σ. τῆς δ. καὶ τέλος τῆς δ. Ἐν ἄλλοις τελεῖται μετὰ τό· τὸν ἄνθρωπον [v. 23.]

ΙΘ. περὶ τῆς φοινικίσσης.

25. ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ.

ἦν

VII, 24. Λ. τῇ ε. τῆς ις. [ἐν ἄλλοις, τῇ β. τῆς ε.] ἑβδ. τ. κ. ἐ. [ἀπῆλθεν] εἰσῆλθεν [ἐν ἄλλῳ· ἦλθεν. ἐν ἄλλῳ· ἐλθών.] ὁ Ἰησοῦς εἰς τὰ μεθόρια. Ἀρχεται καὶ οὕτω· τ. κ. ἐ. ἐλθὼν ὁ Ἰησοῦς εἰς τ. μ. τ. κ. σ. οὐδένα.

19 καθαρίζον] καθαρίζων. E. v. P. Chryſ. VII, 526. a. Euth. I, 617. bene hoc explicat.

24. μεθόρια] ὅρια. E. v. P. Perverſe laudat, Marcum appellans, Chryſ. VII, 529. c. d.

εἰς τὴν οἰκίαν] τὴν —

ΟΓ. ϛ. ἦν δὲ ἡ γυνὴ ἑλληνὶς, * σύρα, Φοινίκισσα τῷ 26.
γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον
* ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.
ὁ δὲ Ἰησοῦς ἔιπεν αὐτῇ· ἄφες πρῶτον χορ- 27.
τασθῆναι τὰ τέκνα· ὀυ γάρ καλόν ἐστι λα-
βεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς
κυναρίοις.
ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· ναὶ κύριε· 28.
καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέ-
ζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων.
καὶ ἔιπεν αὐτῇ· διὰ τοῦτον τὸν λόγον ὕπα- 29.
γε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός
σου.
καὶ ἀπελθοῦσα ἐις τὸν ὀικον αὐτῆς, ἕυρε τὸ 30.
δαιμόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βε-
Τέλος τῆς ε. βλημένην ἐπὶ τῆς κλίνης. [Τέλος.]

Κ. περὶ τοῦ μογγιλάλου καὶ κωφοῦ.

ΟΔ. ι. καὶ πάλιν [Ἀρχή.] ἐξελθὼν ἐκ τῶν ὁρίων 31. ΛΑ.
τύρου

VII, 31. ΛΑ. σαββάτῳ δ. τῶν νηστειῶν· τ. κ. ἰ. ἐξελθὼν [ἐξῆλθεν] ὁ ἰησοῦς ἐκ τῶν ὁρίων τύρου.

26. συροφοίνισσα] συροφοινίκισσα t σύρα, φοινίκισσα. (nam συραφοινίκισσα, uno vocabulo, nihili eſt.) A. v. P. Chryſ. modo συροφοινίκισσα, modo φοινίκισσα. II, 647. VII, 281. 282. b. c. 313. d. e. 315. VIII, 177. IX, 645. XI, 183. Uſitatius eſt φοίνισσα, quam φοινίκισσα. Lucian. T. III. p. 529. verſ. 53. compoſitum habet: συροφοίνικὸς τινος ἐμπόρου θυγατριδοῦς.

ἐκβάλλῃ] ἐκβάλῃ.

30. ἕυρε — κλίνης] ἕυρε τὴν θυγατέρα βεβλημένην (τὸ παιδίον βεβλημένον) ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός. E. v. P.

τύρου καὶ σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων δεκαπόλεως.

32. καὶ φέρουσιν αὐτῷ κωφὸν * μογγιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

33. καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ.

καὶ

31. καὶ σιδῶνος ἦλθε] ἦλθε διὰ σιδῶνος. E.
πρὸς τὴν] εἰς τήν. E.

32. μογιλάλον] μογγιλάλον. v. P. Beng. Ita non solum in Codd. legitur in textu, sed et in indice capitum. Plures ergo Codd. ter ita exhibent, in principio evangelii, in margine, ubi caput κ. notatur, et in contextu. Ita quoque habent plerique Codd. V. Test. atque ita editum Ies. 35, 6. in commentario Cyrilli II, 473. c. 474. b. Vide etiam Absyrtum in veterinariae medicinae libro. Basil. 1537. 4. pag. 54. in fine, qui ita habet: ἔστω δὲ καὶ τῇ φωνῇ μὴ μογγὸς, ἀλλὰ λαμπρός. Graeci enim dicunt λαμπρόφωνος. Alii hoc pro manifesto vitio habuerunt, ut Montefalconius in Lexico ad Hexapla pag. 43. Veruntamen μογιλάλος quoque occurrit in Lexicis MSS. graecis. Aëtius etiam lib. VIII. cap. 38. ἀγκυλόγλωσσοι interpretans habet, μόγις et μογιλάλος. Si Bengelii sententia valeret, Absyrtus loco φωνῇ debuisset scribere λάρυγγι. Evoluatur Codex Guelpherbytanus num. 16. 5. ante evangelium, in contextu, (ubi tamen homo ineptus auctoritate Erasmi, quae nullae est, delevit alterum γ.) et in eadem pagina in fronte. Similiter est in Codd. Augg. et in Zittauiensi fol. 580. pag. a. in textu et in indice.

33. ἀπολαβόμενος] ἐπιλαβόμενος. E. v. P. Ex 8. 23.

καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ 34.
λέγει αὐτῷ· ἐφφαθὰ, ὅ ἐστι, διανοίχθητι.
καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί· 35.
καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ
ἐλάλει ὀρθῶς.
ΟΕ. η. καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· 36.
ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον πε-
ρισσότερον ἐκήρυσσον.
καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· 37.
καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς
ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.
Τέλος τοῦ σαββάτου. [Τέλος.]

ΚΑ. περὶ τῶν ἑπτὰ ἄρτων.

ΟϚ. ϛ. Ἐν ἐκείναις ταῖς ἡμέραις [Ἀρχή.] παμπόλ- VIII, 1.
λου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγω- ΛΒ.
σι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς
αὐτοῦ, λέγει αὐτοῖς·
σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη * ἡμέ- 2.
ραι τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί
φάγωσι.

καὶ

VIII, 1. ΛΒ. τῇ ϛ. τῆς ιϛ. [ἐν ἄλλοις, τῇ γ. τῆς ι.] ιβδ. τ. κ. ἑ. [πολλοῦ] παμπόλλου ὄχλου.

VIII, 1. παμπόλλου] πάλιν πολλοῦ t πάλιν παμπόλλου. E.

ὁ Ἰησοῦς] — E.

2. ἡμέρας] ἡμέραι.

προσμένουσι μοι] Latiniſtarum alii: *ſuſtinent me:* alii: *ex quo hic ſunt.* quod homo barbarus reddidit: ἐστὶν ἀπὸ πότε ὧδέ εἰσι, loco ἀφ' ἧς (χρόνου.) Miror, cur non alius correxerit ὑπομένουσι. Sed haec quorundam ſcribarum familiae occidentalis ſunt deliria.

3. καὶ ἐὰν ἀπολύσω αὐτοὺς * νήστις εἰς οἶκον
αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ
αὐτῶν μακρόθεν ἥκουσι.

4. καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·
πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι
ἄρτων ἐπ᾽ ἐρημίας;

5. καὶ ἐπηρώτα αὐτούς· πόσους ἔχετε ἄρτους;
οἱ δὲ εἶπον· ἑπτά.

6. καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς
γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, * καὶ
εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθη-
ταῖς αὐτοῦ, ἵνα παραθῶσι· καὶ παρέθηκαν
τῷ ὄχλῳ.

7. καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας,
εἶπε παραθεῖναι καὶ αὐτά.

8. ἔφαγον δὲ, καὶ ἐχορτάσθησαν· καὶ ἦραν πε-
ρισσεύματα κλασμάτων, ἑπτὰ σπυρίδας.

9. ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι· καὶ
ἀπέλυσεν αὐτούς.

καὶ

3. νήστεις] νήστις t νῆστις. A. v. Matth. 15, 32.

ἥκουσι] ἥκασι. D. Graecis ἥκουσιν eſt etiam *venerunt*. v. ſchol. ad Euripid. Hecub. verſ. 1.

6. ἄρτους] + καί.

παραθῶσι] παρατιθῶσι. E. Saepe in his variant Codd. N. Teſt.

7. καὶ εὐλογήσας] καὶ αὐτὰ (ταῦτα) εὐλογήσας. E.

παραθεῖναι] παρατιθέναι t παραθῆναι. (nam et ſic interdum exhibent Codd.) E.

καὶ αὐτὰ] — t καὶ — t τῷ ὄχλῳ. E.

9. οἱ φαγόντες] — E.

καὶ ἐυθέως ἐμβὰς ἐις τὸ πλοῖον μετὰ τῶν 10.
μαθητῶν αὐτοῦ, ἦλθεν ἐις τὰ μέρη δαλμα-
Τέλος τῆς ς. νουθά. [Τέλος.]

ΟΖ. δ. καὶ [Ἀρχή.] ἐξῆλθον ὁι Φαρισαῖοι, καὶ ἤρ- 11. ΛΓ.
ξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ
σημεῖον ἀπὸ τοῦ ὀυρανοῦ, πειράζοντες αὐ-
τόν.

ΟΗ. ς. καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· 12.
τί ἡ γενεὰ ἅυτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέ-
γω ὑμῖν, ἐι δοθήσεται τῇ γενεᾷ ταύτῃ ση-
μεῖον.

καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν ἐις * πλοῖον, 13.
ἀπῆλθεν ἐις τὸ πέραν.

καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ ἐι μὴ 14.
ἕνα ἄρτον ὀυκ ἔιχον μεθ' ἑαυτῶν ἐν τῷ
πλοίῳ.

KB. πι-

VIII, 11. ΛΓ. τῇ β. τῆς ιγ. [ἐν ἄλλοις, τῇ δ. τῆς ι.] ἑβδ. τ. κ. ἐ. [ἐξῆλθον.] ἦλθον ὁι Φαρισαῖοι [πρὸς τὸν ἰησοῦν.] καὶ ἤρξαντο συζητεῖν τῷ ἰησοῦ [αὐτῷ.] Ἰστέον δὲ, ὅτι ἀπὸ τῆς παρούσης β. (δευτέρας ἡμέρας) μεταβαίνει τὸ κατὰ μάρκον ἐις τὰς ἑβδ. τοῦ λουκᾶ ἐν ταῖς ε. ἡμέραις. (Vide in ſynaxario diem lunae poſt dominicam ιζ. ſeu τῆς χαναναίας.)

10. δαλμανουθά] μαγδαλὰ t μαγαδά. E. v. Wetſt. P. Haud dubie hic quoque Origenes per ſuam geographiam Latiniſtas in errorem pellexerat. Vide mox verſ. 22, Wetſt. Griesb. ubi eſt βηθανίαν, loco βηθσαϊδάν.

12. ἀναστενάξας] στενάξας. E. Chryſ. VII, 540. c. vulgatum.

ἐι] οὐ E. ex Orig. v. P.

13. ἐις τὸ πλοῖον] τὸ —

ἡρώδου] τῶν ἡρωδιανῶν. E.

ΚΒ. περὶ τῆς ζύμης τῶν φαρισαίων.

15. καὶ διεστέλλετο αὐτοῖς, λέγων· ὁρᾶτε, βλέ- ΟΘ. β.
πετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ
τῆς ζύμης ἡρώδου.

16. καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες· Π. ς.
ὅτι ἄρτους οὐκ ἔχομεν.

17. καὶ γνοὺς ὁ ἰησοῦς, λέγει αὐτοῖς· τί διαλο-
γίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε,
οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν
καρδίαν ὑμῶν.

18. ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; καὶ ὦτα
ἔχοντες οὐκ ἀκούετε, καὶ οὐ μνημονεύετε;

19. ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεν-
τακισχιλίους, πόσους κοφίνους πλήρεις κλασ-
μάτων ἤρατε; λέγουσιν αὐτῷ· δώδεκα.

20. ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους,
πόσων σπυρίδων πληρώματα κλασμάτων
ἤρατε; οἱ δὲ εἶπον· ἑπτά.

21. καὶ ἔλεγεν αὐτοῖς· πῶς οὐ συνίετε; [Τέ- Τέλος τῆς β. καὶ ἔν τισι τῆς δ. τῆς ε.
λος.]

ΚΓ. περὶ τοῦ τυφλοῦ.

ΛΔ 22. καὶ [Ἀρχή.] ἔρχεται εἰς βηθσαϊδάν· καὶ ΠΑ. ς.
φέρουσιν αὐτῷ τυφλὸν, καὶ παρακαλοῦσιν
αὐτὸν ἵνα αὐτοῦ ἅψηται.

καὶ

VIII, 22. ΛΔ. τῇ γ. τῆς ιγ. [ἐν ἄλλοις, τῇ ε. τῆς ι.] ἑβδ. τ. κ. ἰ. ἔρχεται ὁ ἰησοῦς εἰς [βηθσαϊδᾶν.] βηθσαϊδάν.

22. ἔρχεται] ἔρχονται. E. Laudat Damasc. II, 555.

καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, 23.
ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας
ἐις τὰ ὄμματα ἀυτοῦ, ἐπιθεὶς τὰς χεῖρας
ἀυτῷ, ἐπηρώτα ἀυτὸν ἔι τι βλέπει.
καὶ ἀναβλέψας, ἔλεγε· βλέπω τοὺς ἀνθρώ- 24.
πους, * ὅτι ὡς δένδρα * ὁρῶ περιπατοῦντας.
ἔιτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς 25.
ὀφθαλμοὺς ἀυτοῦ, καὶ ἐποίησεν ἀυτὸν ἀνα-
βλέψαι· καὶ * ἀπεκατεςάθη, καὶ ἀνέβλεψε
τηλαυγῶς ἅπαντας.
καὶ ἀπέςειλεν ἀυτὸν ἐις τὸν ὄικον ἀυτοῦ, 26.
λέγων· μηδὲ ἐις τὴν κώμην ἐισέλθῃς, μηδὲ
Τέλος τῆς γ. ἔιπῃς τινὶ ἐν τῇ κώμῃ. [Τέλος.]

ΚΔ. περὶ τῆς ἐν καισαρείᾳ ἐπερωτήσεως.

ΠΒ. α. καὶ [Ἀρχή.] ἐξῆλθεν ὁ ἰησοῦς καὶ ὁι μα- 27. ΛΕ.
θηταὶ ἀυτοῦ ἐις τὰς κώμας καισαρείας τῆς

Φιλίπ-

VIII, 27. ΛΕ. σαββάτῳ ε. [ἐν τισι· δ.] τῶν νηςειῶν τ. κ. ε. ἐξῆλθεν ὁ ἰησοῦς καὶ ὁι μαθηταὶ ἀυτοῦ.

24. ὡς δένδρα περιπατοῦντας] ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας. Ita etiam reperi in Codd. omnibus, quos poſt priorem editionem meam examinavi. v. Birch.

25. ἀποκατεςάθη] ἀπεκατεςάθη. v. Matth. 12, 13.

καὶ ἐνέβλεψε] καὶ ἀνέβλεψε. v. P. Repetitiones taediosae Marci hic quoque ſcribas non nullos turbarunt. v. Wetſt. Griesb. Verſu 24. ἀναβλέψας eſt *oculos attollere, aperire*. Verſu 25. ἀναβλέψαι et ἀνέβλεψεν eſt *recuperato viſu cernere, diſtincte rurſus videre, clare denuo videre*. Ceterum ne nunc quidem hunc locum in Chryſ. inveni.

ἅπαντας] ἅπαντα. E. Quod credibile erat, eum non ſolos homines cernere. Atqui vero de hominibus ſermo erat.

26. ἐις τὸν ὄικον] τὸν — E.

Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μα-
θητὰς αὐτοῦ, λέγων αὐτοῖς· τίνα με λέγου-
σιν οἱ ἄνθρωποι εἶναι;

28. οἱ δὲ ἀπεκρίθησαν· ἰωάννην τὸν βαπτιστήν·
καὶ ἄλλοι, ἠλίαν· ἄλλοι δὲ, ἕνα τῶν προ-
φητῶν.

29. καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέ-
γετε εἶναι; ἀποκριθεὶς δε ὁ πέτρος, λέγει
αὐτῷ· σὺ εἶ ὁ χριστός.

ΛΣ. 30. καὶ [Ἀρχή.] ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ ΠΓ. β.
λέγωσι περὶ αὐτοῦ.

31. καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν υἱὸν
τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκι-
μασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ * τῶν
ἀρχιερέων καὶ * τῶν γραμματέων, καὶ ἀπο-
κτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι. Τέλος τοῦ
[Τέλος.] σαββάτου.

32. καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσ- ΠΔ. γ.
λαβόμενος αὐτὸν ὁ πέτρος, ἤρξατο ἐπιτιμᾷν
αὐτῷ.

ὁ

VIII, 30. ΛΣ. τῇ δ. τῆς ιγ. ἑβδ. τ. κ. ε. ἐπετίμησεν ὁ ἰη-
σοῦς τοῖς μαθηταῖς αὐτου, ἵνα.

29. χριστὸς] + ὁ υἱὸς τοῦ θεοῦ t ὁ υἱὸς τοῦ θεοῦ ζῶν-
τος. E. v. P. Birch. Euth. I, 653.

30. καὶ αὐτοῦ] + ὅτι αὐτός ἐστιν ὁ χριστός. E. v. P.
Birch.

31. καὶ ἀρχιερέων] καὶ τῶν ἀρχιερέων.
καὶ γραμματέων] καὶ τῶν γραμματέων.
μετὰ τρεῖς ἡμέρας] τῇ (ἐν τῇ) τρίτῃ ἡμέρᾳ. E. v. P.

ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐ- 33.
τοῦ, ἐπετίμησε τῷ πέτρῳ, λέγων· ὕπαγε
ὀπίσω μου, σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ
θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

ΠΕ.´β. καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς 34.
μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· [Ἀρχή.] ὅστις ΛΖ.
θέλει ὀπίσω μου * ἀκολουθεῖν, ἀπαρνησά-
σθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,
Τέλος τῆς δ. καὶ ἀκολουθείτω μοι. [Τέλος.]

ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, 35.
ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν * ἑαυ-
τοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου,
οὗτος σώσει αὐτήν.

τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν 36.
κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;
ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυ- 37.
χῆς αὐτοῦ;

ὃς

VIII, 34. ΛΖ. κυριακῇ γ. τῶν νηστειῶν καὶ κυριακῇ μετὰ τὴν ὕψωσιν καὶ εἰς σχῆμα μοναχοῦ καὶ τῇ ἐπαύριον τοῦ σταυροῦ καὶ εἰς τὸν ἅγιον ἀρτέμιον· ε. ὁ κ. ὅστις [εἴ τις] θέλει ὀπίσω μου [ἐλθεῖν] ἀκολουθεῖν.

34. ὅστις] εἴ τις E. Ita nominatim Orig. I, 282. a.

ἐλθεῖν] ἀκολουθεῖν. Orig. l. l.

secundum 35. τὴν ψυχὴν αὐτοῦ] τὴν ἑαυτοῦ ψυχήν. Orig. l. l. mox tamen alterum τὴν ἑαυτοῦ ψυχὴν omittit. primo ita,

ἐμοῦ καὶ] — E. v. Euth. I, 665. Omittit Orig. l. l.

οὗτος] — E. Omittit Orig. l. l.

36. ἄνθρωπον] ἄνθρωπος. E. Cyrill. I, g. 137. a. Matthaeum potius respicit. Habet autem contra Codd. τί γὰρ ὠφεληθήσεται ἄνθρωπος. Orig. l. l. τί δὲ ὠφελήσει τὸν ἄνθρωπον.

37. ἢ τί] τί γάρ. E. Orig. l. l. nominatim.

38. ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. ΠΣ. β.

IX, 1. Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. [Τέλος.] ΠΖ. β. Τέλος τῆς κυριακῆς.

ΚΕ. περὶ τῆς μεταμορφώσεως.

ΛΗ. 2. καὶ μεθ' ἡμέρας ἓξ [Ἀρχή.] παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ τὸν ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.

καὶ

IX, 2. ΛΗ. τῇ ϛ. τοῦ αὐγούστου. προεόρτιον. [ἐν ἄλλῳ· αὐγούστου ϛ. εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, εἰς τὸν ὄρθρον.] τ. κ. ἰ. παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ [τὸν] ἰάκωβον.

38. ὃς γὰρ ἂν] ὃς γὰρ ἐάν. A. Mirabiliter haec cum Io. 14, 23. coniungit Cyrill. I, a. 513. c.

IX, 1. ἀμὴν] + ἀμήν. E. Bis nominatim Marco tribuit Orig. v. P. Superioribus autem hic versus iungitur. v. P.

2. τὸν ἰάκωβον καὶ τὸν] τὸν utrumque — t posterius — A.

μόνους· καὶ] + ἐν τῷ προσεύχεσθαι αὐτὸν (αὐτούς.) E. v. Griesb. P. Ex evangeliis Origenianis diserte, notante Griesbachio, ut sexcenta alia.

καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο ϛίλβοντα, 3.
λευκὰ λίαν ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς
γῆς ὀυ δύναται λευκᾶναι.

καὶ ὤφθη αὐτοῖς ἠλίας σὺν μωυσῇ· καὶ ἦσαν 4.
συλλαλοῦντες τῷ ἰησοῦ.

καὶ ἀποκριθεὶς ὁ πέτρος, λέγει τῷ ἰησοῦ· 5.
ῥαββὶ, καλόν ἐϛιν ἡμᾶς ὧδε εἶναι· καὶ ποι-
ήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ μωυσῇ
μίαν, καὶ ἠλίᾳ μίαν.

ὀυ γὰρ ᾔδει τί λαλήσει· ἦσαν γὰρ ἔκφοβοι. 6.

καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς· καὶ 7.
ἦλθε φωνὴ ἐκ τῆς νεφέλης· * οὗτός ἐϛιν ὁ
υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

καὶ ἐξάπινα περιβλεψάμενοι, ὀυκέτι ὀυδένα 8.
εἶδον, ἀλλὰ τὸν ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν.

κατα-

3. ἐγένετο] ἐγένοντο. A.

ϛίλβοντα, λευκὰ] ϛίλβοντα — t λευκὰ — E. v. P. λευκὰ καὶ ϛίλβοντα, ὡς τὸ φῶς diſerte Origenes, homo diſertus.

δύναται] + ὄυτως. E. v. P. Ibidem vide de evangelio ſecundum Hebraeos, quod ſimile fuit Origenianis.

6. λαλήσῃ] λαλῆσαι t ἀποκριθῇ. E. Poſterius bis diſerte rurſus tribuit Marco Orig. Tertio loco videtur probare ἐλάλει. Ingentem ergo numerum evangeliorum ſuorum ante oculos videtur habuiſſe. Chryſ. VII, 569. b. nominatim: λαλήσῃ· ἔκφοβοι γὰρ ἐγένοντο. Haud dubie ex evangeliis Conſtantinopolitanis. Λαλήσει Codd. poſtulant. v. P. Euth. 156.

7. λέγουσα· οὗτος] λέγουσα —.

8. ἀλλὰ τὸν] εἰ μὴ τόν. E. v. P.

9. καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. [Τέλος.] Τέλος τοῦ προσσεϐτίου.

ΛΘ. 10. καὶ [Ἀρχή.] τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες, τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι. ΠΗ. ι.

11. καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· ὅτι λέγουσιν οἱ γραμματεῖς, ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

12. ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· ἠλίας μὲν ἐλθὼν

IX, 10. ΛΘ. τῇ ε. τῆς ιγ. [ἐν ἄλλοις, τῇ ϛ. τῆς ε.] ἑβδ. τ. κ. ε. [τὸν λόγον τοῦ ἰησοῦ.] ἐκράτησαν πρὸς [αὐτούς.] ἑαυτοὺς οἱ μαθηταὶ τὸν λόγον τοῦ ἰησοῦ συζητοῦντες [τὸν λόγον τοῦ ἰησοῦ ἐκράτησαν πρὸς ἑαυτοὺς οἱ μαθηταί.]

9. διηγήσωνται] διηγήσονται. D.
ὅταν] ὅτε. E.

10. ἐκράτησαν] ἐκράτουν. E.
τὸ ἐκ νεκρῶν ἀναστῆναι] ὅταν ἐκ νεκρῶν ἀναστῇ. E. v. P. Hanc lectionem ne quidem Vat. 1209. habet, qui tamen cum Ven. 10. et Lamb. 31. haud raro in huiusmodi vitiis apud Birch. consentit.

11. ὅτι prius] τί t πῶς οὖν t — E. v. P. ὅτι molestum erat et hic et vers. 28. ergo utroque loco corruptum. In Marco huiuscemodi ferenda.

12. μὲν] — E.
ἀποκαθιστᾷ] ἀποκαθιστάνει t ἀποκαταστήσει t ἀποκαταστάνει, quod postremum thesauris Stephanianis inserendum. E. v. Wetst. Griesb. Matth. 17, 11. Nullus bonae notae Cod. hic variat. Unum tamen vidi, quem alibi Aug. 10. appello, qui ex evangeliis Origenianis exhibet: ἠλίας μὲν δεῖ ἐλθεῖν πρῶτος καὶ ἀποκαθιστᾷν. Huius Cod. lectiones crudas, si quando cum alius similis (Aug. 11.) eructavero, merito

θὼν πρῶτον, ἀποκαθιστᾷ πάντα· καὶ πῶς
γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα
πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ;

ἀλλὰ λέγω ὑμῖν, ὅτι καὶ ἠλίας ἐλήλυθε, 13.
καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς
γέγραπται ἐπ᾽ αὐτόν.

καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον 14.
πολὺν περὶ αὐτοὺς, καὶ γραμματεῖς συζη-
τοῦντας αὐτοῖς.

καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμ- 15.
βήθη, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν.

Τέλος τῆς ι. [Τέλος.]

καὶ

rito meo merebor laudem Alexandriae, Constantinopoli et per universum occidentem. Vide mox, καὶ πῶς.

πάντα] τὰ πάντα. E.

καὶ πῶς] καθώς. E. v. P. Euth. II, 117. Victor T. I, pag. 161. edit. Mosq. et Romanae pag. 184. 185. καθὼς adeo absurdum est et contrarium sententiae, ut nemini probari possit. Quis enim nexus inter ἀποκαθιστᾷν et πάσχειν; Falsarii saltem addere debuissent δὲ, id est, ἐπὶ δὲ τὸν, nimirum γέγραπται. Καὶ πῶς continent ἀντερώτησιν, quas plures saepius inimicis, h. l. autem iisdem per discipulos proposuit Christus. Illud καὶ πῶς frequenter in eiusmodi ἐπαπορήμασιν occurrit. Marc. 4, 13. Luc. 12, 50. 20, 44. Io. 12, 34. 14, 5. 9. Haec obiter. Nec enim interpretem agimus.

13. ἐποίησαν] + ἐν. E. Ita sane in N. Test. saepe. Sed contra sunt meliores Codd. v. Matth. 17, 12.

ἐπ᾽ αὐτὸν] ἐπ᾽ αὐτῷ t περὶ αὐτοῦ. E.

15. ἰδὼν αὐτὸν ἐξεθαμβήθη] ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν. E.

προστρέχοντες] προσχαίροντες. E. Strenue h. l.

Lati-

16. καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζη- Τέλος ἐν τισι
τεῖτε πρὸς αὐτούς; [Τέλος.] τῆς ς. τῆς ε.
καὶ τῆς ε.
ΚΞ. περὶ τοῦ σεληνιαζομένου. τῆς ιγ.

M. 17. καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε· [Ἀρ- Α. β.
χή.] διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός
σε, ἔχοντα πνεῦμα ἄλαλον·

καὶ

IX, 17. M. κυριακῇ δ. τῶν νηστειῶν· τ. κ. ἑ. ἄνθρωπός τις προσῆλθε τῷ ἰησοῦ γονυπετῶν αὐτὸν καὶ λέγων, διδάσκαλε.

Latiniſtae rem ſuam geſſerunt. Duo enim vocabula duplici modo reddiderunt: *ſtupefactus eſt et expavuerunt*, et: *accurrentes, gaudentes.* Hinc eſt προσχαίροντες. προσχαίροντες, quod Steph. in theſ. nullibi a ſe inventum ait, habet Chryſ. de ſacerdotio p. 270. edit. Beng. Miror, cur non alii reddiderint προσπαίζοντες, προσχαίνοντες, quae uſitatiora ſunt. Scilicet illud προστρέχοντες interpretabatur aliquis χαίροντες. Deinde ex προστρέχ. et χαίρ. factum eſt προσχαίροντες. Similiter Chryſ. XII, 212. d. Hebr. 11, 13. poſt ἀσπασάμενοι explicandi cauſſa infert ἡσθέντες. (Nam et προστρέχειν, et ἀσπάζεσθαι habent notionem gaudii et laetitiae.) Ex hoc Oecum. II, 408. b. fecit πεισθέντες, ſive ipſe, ſive ſcribae eius. Quid ergo Erasmus ad illum locum? *invenio in graecis Codd.* (quibus? fortaſſe in unius Codicis Oecumenii ſcholiis.) καὶ πεισθέντες. Quid ergo Erasmus? Retulit in textum. O critici, critici! Sed illud Chryſoſtomi ἡσθέντες vexatum etiam eſt a ſcribis Theophyl. ubi eſt p. 994. edit. Lond. ἀσπασαμένους, τουτέστιν, ἡσθέντας. Sed in Codice Rhodio, quem ego conſului, recte eſt ἡσθέντας. Quid hic ſolatii attulit editor Venetus ex Codd. S. Marci T. II. p. 736. a? — Ut alibi, nihil.

16. τοὺς γραμματεῖς] αὐτούς. E.
συζητεῖτε] ἐν ζητεῖτε l ζητεῖτε. E.
πρὸς αὐτοὺς] πρὸς ἑαυτούς. E.

καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν, 18.
καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ,
καὶ ξηραίνεται· καὶ ἐιπον τοῖς μαθηταῖς σου,
ἵνα αὐτὸ ἐκβάλωσι, καὶ ὀυκ ἴσχυσαν.
ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· ὦ γενεὰ ἄπι- 19.
στος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε
ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με.
καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐ- 20.
τὸν, ἐυθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτὸν,
καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων.
καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ, πόσος 21.
χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ
ἐιπε· παιδιόθεν·
καὶ πολλάκις αὐτὸν καὶ ἐις * τὸ πῦρ ἔβαλε 22.
καὶ ἐις ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ᾽ ἔι
τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς
ἐφ᾽ ἡμᾶς.
ὁ δὲ ἰησοῦς ἐιπεν αὐτῷ· τὸ, ἐι δύνασαι πι- 23.
στεῦσαι· πάντα δυνατὰ τῷ πιστεύοντι.

καὶ

18. ὀδόντας αὐτοῦ] αὐτοῦ — E.

19. αὐτῷ] — t αὐτοῖς. E.

20. ἰδὼν] ἰδὸν, nimirum τὸ πνεῦμα. E.

21. ὡς] ἐξ οὗ t ἀφ᾽ οὗ. E. Attingit Chryſ. VII, 579. b. c. ubi eſt: πόσον χρόνον ἔχει, et: ἐκ παιδός. v. ibid. 578. VIII, 204. ubi Lucae tribuit.

παιδιόθεν] ἐκ παιδιόθεν t ἐκ παιδόθεν t παιδόθεν. E.

23. τὸ ἐι] τὸ — E. Exempla ſimilis vocis τὸ notavit Weſt. τὸ, reddo *hoc*. eſt autem elliptica oratio.

hoc,

24. καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων ἔλεγε· πιστεύω κύριε, βοήθει μου τῇ ἀπιστίᾳ.

25. ἰδὼν δὲ ὁ ἰησοῦς ὅτι ἐπισυντρέχει * ὁ ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.

26. καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν.

27. ὁ δὲ ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτόν· καὶ ἀνέστη.

καὶ

hoc, (quod modo dicebas, εἰ δύνασαι βοηθῆσαι, cui ego nunc repono, εἰ δύνασαι πιστεῦσαι,) *si potes credere*. Suppleri possit, τοῦτο αὐτό ἐστι, vel τοῦτο τὸ κυριώτατόν ἐστιν. Istud τὸ in multis deest Codd. apud alios editores. Ex meis Mosqq. solus e. omittit, cuius non est maxima apud me auctoritas. Post priorem editionem alios Codd. adhibui. Nullus omittit. In solo Aug. 3. postea rasura deletum est.

πιστεῦσαι] — E. Ingeniosa haec est et expeditissima lectio paucorum Codicum. Id est: *Quod attinet istud, si possis. Deo fidens potest omnia*. Per Codices vero probari nequit.

24. πιστεύω — ἀπιστίᾳ] Haec nominatim Lucae tribuit Chrys. VIII, 204. c. ubi tamen non reperiuntur.

κύριε] — E.

25. ὄχλος] ὁ ὄχλος. A. Qui tum aderat.

26. κράξαν — σπαράξαν] κράξας — σπαράξας. E. Fortasse per σύνεσιν intellexerunt ὁ διάβολος. Sed illi ἀσύνετοι scribae ad *spiritus* potius retulerunt, ut alibi. Est ergo latinismus.

αὐτὸν] — E.

ϛβ. ι. καὶ ἐισελθόντα αὐτὸν ἐις ὄικον, ὁι μαθηταὶ 28.
αὐτοῦ ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν· ὅτι ἡμεῖς
ὀυκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;
καὶ ἔιπεν αὐτοῖς· τοῦτο τὸ γένος ἐν ὀυδενὶ 29.
δύναται ἐξελθεῖν, ἐι μὴ ἐν προσευχῇ καὶ νη-
ϛεία.
ϛγ. β. καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ 30.
τῆς γαλιλαίας· καὶ ὀυκ ἤθελεν ἵνα τὶς γνῷ.
ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλε- 31.
γεν αὐτοῖς· ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-
δίδοται ἐις χεῖρας ἀνθρώπων, καὶ ἀποκτε-
νοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ
Τέλος τῆς κυριακῆς. ἡμέρᾳ ἀναϛήσεται. [Τέλος.]
ϛδ. ι. ὁι δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν 32.
ἐπερωτῆσαι.

ΚΖ. περὶ τῶν διαλογιζομένων, τίς μείζων.

καὶ [Ἀρχή.] ἦλθεν ἐις καπερναούμ· καὶ ἐν 33. MA.
τῇ ὀικίᾳ γενόμενος, ἐπηρώτα αὐτούς· τί ἐν
τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε;

ὁι

IX, 33. MA. τῇ ϛ. τῆς ιγ. [ἐν ἄλλοις, τῇ β. τῆς ϛ.] ἑβδ. καὶ ἐις τὸν ἅγιον ἰγνάτιον, τὸν θεοφόρον· τ. κ. ἐ. ἦλθεν ὁ ἰησοῦς [καὶ ὁι μαθηταὶ αὐτοῦ] ἐις καπερναούμ.

28. ὅτι] ὅτι διατί t διατί t τί ὅτι. E. v. P.

31. τῇ τρίτῃ ἡμέρᾳ] μετὰ τρεῖς ἡμέρας. E. Sic eſt 8, 31. Rurſus ita non nulli corrupti 10, 34. Scribae ergo non nulli ad ludibrium lectorum varias lectiones ſinxerunt, ut ex comparationo horum locorum apparet.

32. — v. P.
ἐπερωτῆσαι] ἐρωτῆσαι. E. v. Chryſ. VII, 578. b. 551. e.

33. πρὸς ἑαυτοὺς] — E.

34. ὁι δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ διελέχ- 52. β.
θησαν ἐν τῇ ὁδῷ, τίς μείζων.

35. καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα, καὶ λέ-
γει αὐτοῖς· ἔι τις θέλει πρῶτος ἐιναι, ἔσαι
πάντων ἔσχατος, καὶ πάντων διάκονος.

36. καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐ-
τῶν· καὶ ἐναγκαλισάμενος αὐτὸ, ἐιπεν αὐ-
τοῖς·

37. ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ 53. β.
τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν
ἐμὲ δέξηται, ὀυκ ἐμὲ δέχεται, ἀλλὰ τὸν
ἀποστέιλαντά με.

38. ἀπεκρίθη δὲ αὐτῷ ὁ ἰωάννης, λέγων· διδά-
σκαλε, ἔιδομέν τινα * τῷ ὀνόματί σου ἐκ-
βάλ-

34. διελέχθησαν] διελογίζοντο. E. Ita Chryſ. VII, 587. b. dum tamen ibi diſſenſum Matth. et Marc. componat. De Orig. v. P. Euth. 156. I, 704.

ἐν τῇ ὁδῷ] — E.

35. ἐιναι] Inter γενέσθαι et ἐιναι optionem dat Orig. v. P.

ἔσαι] ἔσω. E.

διάκονος] δοῦλος. E. v. Chryſ. X, 97. b.

36. παιδίον] In Cod. quem in priore editione appellavi a 3. fol. 138. pag. 2. col. 1. traditur, hunc fuiſſe Ignatium, Antiochiae episcopum, discipulum Ioannis Apoſtoli.

ἐναγκαλισάμενος] v. P.

37. ἐπὶ] ἐν. E. de Orig. v. P.

38. ὁ ἰωάννης] ὁ — A.

τινα ἐν] ἐν —.

βάλλοντα δαιμόνια, ὃς ὀυκ ἀκολουθεῖ ἡμῖν·
καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι ὀυκ ἀκολουθεῖ
ἡμῖν.
ὁ δὲ ἰησοῦς εἶπε· μὴ κωλύετε αὐτόν· ὀυδεὶς 39.
γάρ ἐςιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί
μου, καὶ δυνήσεται ταχὺ κακολογῆσαί με.
ὃς γὰρ ὀυκ ἔςι καθ' * ὑμῶν, ὑπὲρ * ὑμῶν 40.
ἐςιν,
ϟΗ. ϛ. ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν 41.
* ὀνόματί μου, ὅτι χριςοῦ ἐςὲ, ἀμὴν λέγω
ϛ. ὑμῖν, ὀυ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.
[Τέλος.]
ϟΘ. β. καὶ [Ἀρχή.] ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μι- 42. MB.
κρῶν τῶν πιςευόντων εἰς ἐμὲ, καλόν ἐςιν αὐ-
τῷ μᾶλλον, εἰ περίκειται λίθος μυλικὸς πε-
ρὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται εἰς
τὴν θάλασσαν.
Ρ. ϛ. καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκο- 43.
ψον αὐτήν· καλόν σοι ἐςὶ κυλλὸν εἰς τὴν
ζωὴν

IX, 42. MB. τῇ β. τῆς ιδ. [ἐν ἄλλοις, τῇ γ. τῆς ϛ.] ἑβδ. ε. ὁ κ. ὃς ἐὰν σκανδαλίσῃ ἕνα.

ὃς ὀυκ — ὀυκ ἀκολουθεῖ ἡμῖν] — t ὃς ὀυκ ἀκολουθεῖ ἡμῖν — t ὅτι ὀυκ ἀκολουθεῖ ἡμῖν — E. Repetitiones Marci rursus aliquos fefellerunt.

40. ἡμῶν ὑπὲρ ἡμῶν] ὑμῶν ὑπὲρ ὑμῶν.

41. ἐν τῷ ὀνόματί μου] μου — E. τῷ —.

42. ὃς ἂν] ὃς ἐάν. A.

μικρῶν] + τούτων. E.

λίθος μυλικὸς] μύλος ὀνικὸς t λίθος μυλωνικός. E. v. P.

ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα
ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ
ἄσβεστον·
44. ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ ΡΑ. ι.
πῦρ οὐ σβέννυται.
45. καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκο-
ψον αὐτόν· καλόν ἐστί σοι εἰσελθεῖν εἰς τὴν
ζωὴν χωλὸν, ἢ τοὺς δύο πόδας ἔχοντα βλη-
θῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβε-
στον·
46. ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ
πῦρ οὐ σβέννυται.
47. καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκ-
βαλε αὐτόν· καλόν σοι ἐστὶ μονόφθαλμον
εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἢ δύο
ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέεν-
ναν τοῦ πυρός·
48. ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ
πῦρ οὐ σβέννυται.
49. πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυ- ΡΒ. β
σία ἁλὶ ἁλισθήσεται.
50. καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον
γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν
ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

Κακεῖ-

44. Chryſ. haec attingit VIII, 380. 381. X, 73.
48. σκώληξ αὐτῶν] αὐτῶν — D.
49. v. P.
ἁλισθήσεται] δοκιμασθήσεται. E. Ex 1 Cor. 3, 13.
50. ἀρτήσετε] v. Euth. I, 163.
εἰρηνεύετε] εἰρηνεύσατε. E.

ΡΓ. ϛ. Κἀκεῖθεν ἀναςὰς ἔρχεται ἐις τὰ ὅρια τῆς X, 1.
ἰουδαίας, διὰ τοῦ πέραν τοῦ ἰορδάνου· καὶ
συμπορέυονται πάλιν ὄχλοι πρὸς αὐτόν· καὶ
Τέλος τῆς β. ὡς ἐιώθει, πάλιν ἐδίδασκεν αὐτούς. [Τέ-
λος.]

ΚΗ. περὶ τῶν ἐπερωτησάντων διὰ τὴν γυναῖκα.

καὶ [Ἀρχή.] προσελθόντες οἱ φαρισαῖοι, ἐπη- 2. ΜΓ.
ρώτησαν αὐτὸν, ἐι ἔξεςιν ἀνδρὶ γυναῖκα ἀπο-
λῦσαι· πειράζοντες αὐτόν.
ὁ δὲ ἀποκριθεὶς, ἔιπεν αὐτοῖς· τί ὑμῖν ἐνετεί- 3.
λατο μωυσῆς;
οἱ δὲ ἔιπον· μωυσῆς ἐπέτρεψε βιβλίον ἀπο- 4.
ςασίου γράψαι, καὶ ἀπολῦσαι.
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, ἔιπεν αὐτοῖς· πρὸς 5.
τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν
ἐντολὴν ταύτην.
ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποί- 6.
ησεν αὐτοὺς ὁ θεός·
ἕνεκεν τούτου καταλέιψει ἄνθρωπος τὸν πα- 7
τέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολ-
ληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ.

καὶ

X, 2. ΜΓ. τῇ γ. τῆς ιδ. [ἐν ἄλλοις, τῇ δ. τῆς ϛ.] ἑβδ. τ. κ. ἐ. προσελθόντες [τῷ ἰησοῦ] οἱ φαρισαῖοι ἐπηρώτησαν τὸν ἰησοῦν, [αὐτόν.] ἐι ἔξεςιν ἀνδρί.

X, 1. διὰ τοῦ] καὶ t διὰ τὸ t — E. v. P.

2. οἱ φαρισαῖοι] οἱ — D.

ἐπηρώτησαν] ἐπηρώτων. E. Sic et verſ. 10. Perpetua eſt in his confuſio in N. Teſt. Sed plures Codd. iſtud h. l. probant. Scribae vero, graeci etiam, paullatim aſſueti N. T. interdum etiam ibi, ubi apoſtoli graecitatem fuerant ſecuti, vitioſa exhibuerunt vel contra exemplaria.

8. καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ.

9. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

10. καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ ΡΔ. ι.
περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν.

ΜΔ. 11. καὶ λέγει αὐτοῖς· [Ἀρχή.] ὃς ἐὰν ἀπολύσῃ ΡΕ. β.
τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ᾽ αὐτήν.

12. καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται. [Τέλος.] Τέλος τῆς γ.

13. καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται ΡϚ. β.
αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν.

14. ἰδὼν δὲ ὁ ἰησοῦς ἠγανάκτησεν, καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, * μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.

15. ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

καὶ

X, 11. ΜΔ. τῇ δ. τῆς ιδ. ἑβδ. ἑ. ὁ κ. ὃς ἐὰν [ἄν.] ἀπολύσῃ.

8. μία σὰρξ] σὰρξ μία. E.

10. ἐν τῇ οἰκίᾳ] εἰς τὴν οἰκίαν. E. Chryſ. VII, 622. d. Marco tribuit: κατ᾽ ἰδίαν εἶπον αὐτῷ.

περὶ τοῦ αὐτοῦ] περὶ τούτου t — E.

13. παιδία] καὶ βρέφη. E. v. P.

14. καὶ μὴ] καὶ —.

καὶ [Ἀρχή.] ἤρξατο ὁ πέτρος λέγειν αὐτῷ 28. ΜϚ.
ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθή-
σαμέν σοι.

ΡΙ. β. ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, εἶπεν· ἀμὴν λέγω 29.
ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελ-
φοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ
γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ
καὶ * ἕνεκεν τοῦ εὐαγγελίου,
ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ 30.
καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελ-
φὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς,
μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομέ-
νῳ ζωὴν αἰώνιον.

ΡΙΑ. β. πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ * 31.
Τέλος ἔν τισι ἔσχατοι, πρῶτοι. [Τέλος.]
τῆς ϛ. τῆς ϛ.
ΡΙΒ. β. ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς ἱεροσό- 32.
λυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ ἰησοῦς, καὶ
ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο,
Τέλος τῆς ϛ. [Τέλος.] καὶ [Ἀρχή.] παραλαβὼν πάλιν ΜΖ.
τοὺς

X, 28. ΜϚ. τῇ ϛ. τῆς ϛ. ἑβδ. τ. κ. ἐ. ἤρξατο ὁ πέτρος λέγειν τῷ ἰησοῦ, ἰδοὺ ἡμεῖς.

X, 32. ΜΖ. κυριακῇ ε. τῶν νηστειῶν. τ. κ. ἐ. παραλαβὼν [παραλαμβάνει.] ὁ ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, [καί.] ἤρξατο λέγειν.

28. καὶ ἤρξατο] καὶ — E. v. P.

29. ἐμοῦ καὶ] + ἕνεκεν.

30. ἀδελφὰς] + καὶ πατέρα D. + καὶ πατέρας. E.
μητέρας] μητέρα. D.
διωγμῶν] διωγμὸν t διωγμοῦ. E. v. P.

31. καὶ οἱ ἔσχατοι] οἱ —.

32. καὶ ἀκολουθοῦντες ἐφοβοῦντο] — E. Chryſ. VII, 644.

τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν.

33. ὅτι ἰδοὺ, ἀναβαίνομεν εἰς ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ * γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι·

34. καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Λ. περὶ τῶν υἱῶν ζεβεδαίου.

35. καὶ προσπορεύονται αὐτῷ ἰάκωβος καὶ ἰωάννης, οἱ υἱοὶ ζεβεδαίου, λέγοντες· διδάσκαλε, ΡΙΓ. ϛ.
θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν.

36. ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν;

οἱ

644. c. e. attingit haec atque utroque loco videtur tollere ἐφοβοῦντο. Partim ergo propter ὁμοιοτέλευτα, partim Chryſoſtomi auctoritate omiſſa ſunt. v. P.

33. τοῖς γραμματεῦσιν] τοῖς —.

34. v. P.

35. προσπορεύονται] προπορεύονται. E. Sed hoc poſtulat αὐτοῦ: v. Chryſ. VII. 645. e. 646. a. 649. a. et Theophyl. qui κρύφα, λάθρα, ἰδίᾳ et κατ' ἰδίαν de ſuis addunt, interpretationis cauſſa.

οἱ υἱοὶ] οἱ — D.

λέγοντες] καὶ λέγουσιν αὐτῷ. E. Orig. nominatim tribuit Marco. v. P.

36. τί θέλετε] — E.

ποιῆσαί με] ποιήσω l ἵνα ποιήσω. E.

ὁι δὲ ἔιπον αὐτῷ· δὸς ἡμῖν ἵνα ἕις ἐκ δεξιῶν 37.
σου καὶ ἕις ἐξ ἐυωνύμων σου καθίσωμεν ἐν
τῇ δόξῃ σου.
ὁ δὲ ἰησοῦς ἔιπεν αὐτοῖς· ὀυκ ὄιδατε τί αἰτεῖ- 38.
σθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω,
καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βα-
πτισθῆναι;
ὁι δὲ ἔιπον αὐτῷ· δυνάμεθα. ὁ δὲ ἰησοῦς 39.
ἔιπεν αὐτοῖς· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω,
πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζο-
μαι, βαπτισθήσεσθε.
τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἐυωνύ- 40.
μων, * ὀυκ ἔςιν ἐμὸν δοῦναι, ἀλλ᾽ ὄις ἡτοί-
μαςαι.
ΡΙΔ. β. καὶ ἀκούσαντες ὁι δέκα, ἤρξαντο ἀγανακτεῖν 41.
περὶ ἰακώβου καὶ ἰωάννου.
ὁ δὲ ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει 42.
αὐτοῖς· ὄιδατε ὅτι ὁι δοκοῦντες ἄρχειν τῶν
ἐθνῶν, κατακυριέυουσιν αὐτῶν, καὶ ὁι μεγά-
λοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν.

ὀυχ

37. δὸς] ἐιπέ. E. Diſerte Chryſ. VII, 646. a. Sed hoc Matthaei eſt.

δόξῃ] βασιλείᾳ τῆς δόξης. E.

38. πίνω καὶ] πίνω ἢ. E. v. P. Orig. I, 293. a. Attingit Chryſ. VII, 645. c.

39. ἰησοῦς] — E.

40. καὶ ἐξ] ἢ ἐξ. E.

ἐυωνύμων μου] μου —.

43. ὀυχ οὕτω δὲ ἔσαι ἐν ὑμῖν· ἀλλ᾽ ὃς ἐὰν θέλῃ
γενέσθαι μέγας ἐν ὑμῖν, ἔσαι * ὑμῶν διά-
κονος.

44. καὶ ὃς * ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος,
ἔσαι πάντων δοῦλος·

45. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ὀυκ ἦλθε δια- ΡΙΕ. δ.
κονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν
ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. [Τέλος.] Τέλος τῆς κυριακῆς.

ΛΑ. περὶ βαρτιμαίου τοῦ τυφλοῦ.

ΜΗ. 46. καὶ ἔρχονται εἰς ἱεριχῶ· καὶ [Ἀρχή.] ἐκπο- ΡΙΣ. β.
ρευομένου αὐτοῦ ἀπὸ ἱεριχὼ, καὶ τῶν μαθη-
τῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, υἱὸς τιμαίου
βαρτίμαιος ὁ τυφλὸς ἐκάθητο παρὰ τὴν
ὁδὸν προσαιτῶν.

47. καὶ ἀκούσας ὅτι ἰησοῦς ὁ ναζωραῖός ἐστιν,
ἤρξατο κράζειν καὶ λέγειν· ὁ υἱὸς δαυὶδ
ἰησοῦ, ἐλέησόν με.

48. καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ
δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ δαυὶδ, ἐλέ-
ησόν με.

καὶ

X, 46. ΜΗ. τῇ β. τῆς ιε. [ἐν ἄλλοις, τῆς ζ.] ἑβδ. τ. κ. ἐ. ἐκπορευομένου τοῦ ἰησοῦ ἀπὸ ἱεριχώ.

43. διάκονος ὑμῶν] ὑμῶν διάκονος.

44. ὃς ἂν] ὃς ἐάν.

46. ἔρχονται — ἀπὸ ἱεριχὼ] ἔρχεται — ἐκεῖθεν. E. Utrumque nominatim tribuit Marco Orig. v. Griesb. P.

υἱὸς] ὁ υἱὸς t ἰδοὺ ὁ υἱός. E. v. P.

βαρτίμαιος] βαρτιμαῖος. E. v. P.

ὁ τυφλὸς] ὁ — E.

47. ναζωραῖος] ναζαρηνός. E. v. P.

48. πολλοὶ — υἱὲ] οἱ πολλοὶ — υἱός. E. v. P.

καὶ ϛὰς ὁ ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι· 49.
καὶ φωνοῦσι, τὸν τυφλὸν, λέγοντες αὐτῷ·
θάρσει, ἔγειραι· φωνεῖ σε.
ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναϛὰς 50.
ἦλθε πρὸς τὸν ἰησοῦν.
καὶ ἀποκριθεὶς, λέγει αὐτῷ ὁ ἰησοῦς· τί θέ- 51.
λεις ποιήσω σοι; ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ·
* ῥαββουνὶ, ἵνα ἀναβλέψω.
ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε· ἡ πίϛις σου 52.
σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολού-
Τέλος τῆς β. θει τῷ ἰησοῦ ἐν τῇ ὁδῷ. [Τέλος.]

ΛΒ. περὶ τοῦ πώλου.

ΡΙΖ. β. Καὶ ὅτε [Ἀρχή.] ἐγγίζουσιν εἰς ἱερουσαλὴμ, XI, 1.
εἰς βηθφαγὴ καὶ βηθανίαν, πρὸς τὸ ὄρος ΜΘ.
τῶν ἐλαιῶν, ἀποϛέλλει δύο τῶν μαθητῶν
αὐτοῦ,

καὶ

XI, 1. ΜΘ. τῇ β. τῆς ἀπόκρεω· τ. κ. ἐ. ἤγγιζεν ὁ ἰησοῦς εἰς ἱερουσαλὴμ καὶ ἦλθεν εἰς βηθφαγή.

49. ἔγειραι] ἔγειρε. A.

50. ἀποβαλὼν] ἀποβαλόμενος. E. v. P.

ἀναϛὰς] ἀναπηδήσας i ἀνεπήδησε καὶ ἀνέϛη. E. v. P.

51. ποιήσω σοὶ] σοι — E.

ῥαββονὶ] ῥαββουνί.

52. ἠκολούθει] ἠκολούθησε. E.

τοῦ ἰησοῦ] αὐτῷ. E. Orig. utrumque habet. v. P.

ἐν τῇ ὁδῷ] Miror, a nemine omiſſa eſſe. Certe ſynaxarium, quod nunc Dresdae eſt, lectionem τῇ β. τῆς ζ. ante haec terminat.

XI, 1. ἱερουσαλὴμ — βηθανίαν] ἱεροσόλυμα καὶ εἰς βηθανίαν. E. Origenes hic quoque infatuavit nonnullos, qui tamen nec ſibi conſtat. v. P.

2. καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε· λύσαντες αὐτὸν ἀγάγετε.

3. καὶ ἐάν τις ὑμῖν εἴπῃ· τί ποιεῖτε τοῦτο; εἴπατε· ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθέως αὐτὸν * ἀποστέλλει ὧδε.

4. ἀπῆλθον δὲ, καὶ εὗρον τὸν πῶλον δεδεμένον ΡΙΗ. β. πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν.

καὶ

2. εὐθέως εἰσπορευόμενοι] εὐθὺς πορευόμενοι. E. Orig. v. P.
οὐδεὶς] + οὔπω. E. Orig. v. P. Alii alibi οὔπω, οὐδέπω, πώποτε temere inseruerunt.
κεκάθικε] ἐκάθισεν. E. Orig. v. P.
λύσαντες αὐτὸν ἀγάγετε] λύσατε αὐτὸν καὶ φέρετε. E. Orig v. P.

3. ποιεῖτε τοῦτο;] ποιεῖτε; t ποιεῖτε; τοῦτο t ποιεῖτε τούτῳ t τί λύετε τὸν πῶλον; E. τί λύετε τὸν πῶλον. Origenis est. v. P.
εἴπατε] + τούτῳ. E.
ἀποστελεῖ] ἀποστέλλει.
ὧδε] πάλιν ὧδε. E. Orig. Marco nominatim vindicat: εὐθέως αὐτὸν ἀποστελεῖ πάλιν ὧδε, et: καὶ εὐθέως αὐτὸν ἀποστελεῖ (omisso πάλιν) ὧδε. v. P.

4. ἀπῆλθον κ. τ. λ.] Orig. nominatim Marco tribuit: καὶ ἀπελθόντες εὗρον τὸν πῶλον, et: καὶ ἀπῆλθον καὶ εὗρον. v. P.
τὸν πῶλον] τὸν — D. v. P.
πρὸς τὴν θύραν ἔξω] ἔξω πρὸς τὴν θύραν t πρὸς θύραν ἔξω. E. v. P.
τοῦ ἀμφόδου] in uno tantum Cod. Mosq. inveni τῆς ἀμφόδου, ab ἡ ἄμφοδος. Hic est τὸ ἄμφοδον. Sic et τὰ ἄμφοδα. v. Pollux lib. IX. pag. 1000. et Chrys. I, 778. e.

καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· 5.
τί ποιεῖτε λύοντες τὸν πῶλον;
οἱ δὲ εἶπον αὐτοῖς καθὼς ἐνετείλατο ὁ ἰησοῦς· 6.
καὶ ἀφῆκαν αὐτούς.
καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν ἰησοῦν, καὶ 7.
ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκά-
θισεν ἐπ' αὐτῷ.
πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν 8.
ὁδόν· ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ τῶν δέν-
δρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν.
ΡΙΘ. α. καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες 9.
ἔκραζον, λέγοντες· ὡσαννὰ, ἐυλογημένος ὁ
ἐρχόμενος ἐν ὀνόματι κυρίου·
ἐυλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι 10.
κυρίου, τοῦ πατρὸς ἡμῶν δαυίδ· ὡσαννὰ ἐν
Τέλος ἐν τισί της β. τοῖς ὑψίστοις. [Τέλος.]

καὶ

5. ἑστηκότων] ἑστώτων. In his plerumque variant Codd.
6. ἐνετείλατο] εἶπεν. E. Orig. et asseclae. v. P.
7. ἤγαγον] ἄγουσι t φέρουσι. E. Orig. v. P.
ἐπέβαλον] ἐπέβαλλον t ἐπιβάλλουσιν. E. Orig. v. P.
καὶ ἐκάθισεν ad 8. ὁδὸν prius] — E. Orig. v. P.
αὐτῷ] αὐτὸν t αὐτὴν t αὐτῶν t αὐτά. E.
8. τὰ ἱμάτια] τοὺς χιτῶνας. E.
στοιβάδας ἔκοπτον — ἐστρώννυον] στοιβάδας κόψαντες ἐκ τῶν ἀγρῶν ἔστρωσαν. E. Orig. v. P. Alibi idem: στιβάδων ἐκ τῶν ἀγρῶν. Ergo idem et στοιβάδας et στιβάδας. Ita vero variant in aliis etiam scriptoribus Codd. in hac voce: στιβὰς tamen praeferendum videtur.
9. λέγοντες] — E. Orig. v. P.
10. ἐν ὀνόματι κυρίου] — E. Orig. v. P.
ὡσαννὰ] ἐιρήνη. E. Orig v. P.

N. 11. καὶ [Ἀρχή.] εἰσῆλθεν εἰς ἱεροσόλυμα ὁ ἰη- ΡΚ. ς.
σοῦς καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος
πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν
εἰς βηθανίαν μετὰ τῶν δώδεκα. [Τέλος.] Τέλος τῆς β. τῆς ἀπό-κρεω.

ΛΓ. περὶ τῆς ξηρανθείσης συκῆς.

12. καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ βη-
θανίας, ἐπείνασε·

13. καὶ ἰδὼν συκῆν μακρόθεν, ἔχουσαν φύλλα,
ἦλθεν εἰ ἄρα εὑρήσει τὶ ἐν αὐτῇ· καὶ ἐλθὼν
ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ
ἦν καιρὸς σύκων.

14. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτῇ· μηκέτι
ἐκ σοῦ εἰς τὸν αἰῶνα * μηδεὶς καρπὸν φά-
γοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

15. καὶ ἔρχονται εἰς ἱεροσόλυμα· καὶ εἰσελθὼν ὁ ΡΚΑ. α.
ἰησοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς

πω-

XI, 11. N. τῇ γ. τῆς ιε. [ἐν ἄλλοις, τῆς ζ.] ἐβδ. τ. κ. ἐ. εἰσῆλθεν [ὁ ἰησοῦς] εἰς ἱεροσόλυμα [ὁ ἰησοῦς] καὶ εἰς τὸ ἱερόν.

11. ὁ ἰησοῦς καὶ] — E. Orig. v. P.

ὥρας] + ἀναξίων ὄντων τῶν ἰουδαίων. E. v. P.

13. μακρόθεν] ἀπὸ μακρόθεν. E. Quae praeterea nominatim, temere tamen, tribuat Marco Orig. de iis v. P.

ἦλθεν — καὶ ἐλθὼν] Haec repetitio ad alias Marci repetitiones notanda, ne quid temere excludatur.

οὐ γὰρ ἦν καιρὸς σύκων] v. P. Chryſ. VII. 662. 663. ſolum σύκων omittit.

14. ὁ ἰησοῦς] — D.

οὐδεὶς] μηδείς.

15. ἔρχονται] + πάλιν. E.

ὁ ἰησοῦς] — E. Orig. v. P.

πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ.
καὶ τὰς τραπέζας τῶν κολλυβιςῶν, καὶ
τὰς καθέδρας τῶν πωλούντων τὰς περιςερὰς
κατέςρεψε.

καὶ ὀυκ ἤφιεν ἵνα τὶς διενέγκῃ σκεῦος διὰ τοῦ 16.
ἱεροῦ.

καὶ ἐδίδασκε, λέγων αὐτοῖς· ὀυ γέγραπται· 17.
ὅτι ὁ ὄικός μου, ὄικος προσευχῆς κληθήσεται
πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν
σπήλαιον λῃςῶν.

ΡΚΒ. α. καὶ ἤκουσαν ὁι γραμματεῖς καὶ ὁι ἀρχιε- 18.
ρεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν * ἀπολέσωσιν·
ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξε-
πλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

ΡΚΓ. ι. καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορέυετο ἔξω τῆς 19.
πόλεως.

καὶ πρωῒ παραπορευόμενοι, ἔιδον τὴν συκῆν 20.
ἐξηραμμένην ἐκ ῥιζῶν.

καὶ ἀναμνησθεὶς ὁ πέτρος, λέγει αὐτῷ· ῥαβ- 21.
βὶ, ἴδε, ἡ συκῆ ἣν κατηράσω, ἐξήρανται.

Τέλος ἔν τισι τῆς γ. τῆς ζ. [Τέλος.]

καὶ

κολλυβιςῶν] + ἐξέχεε t + ἀνέςρεψε, omiſſo mox κατέςρεψεν. E. Orig. v. P.

17. λέγων] καὶ ἔλεγε. E. Orig. v. P.
ἐποιήσατε] πεποιήκατε. E. Orig. v. P.

18. ὁι γραμματεῖς καὶ ὁι ἀρχιερεῖς] ὁι ἀρχ. καὶ ὁι γραμμ. E. v. P. Honoris cauſſa transpoſitum.
ἀπολέσουσιν] ἀπολέσωσιν.

21. ῥαββὶ — ἐξήρανται] ἰδοὺ ἡ συκὴ, ἣν κατηράσω, ἐξηράνθη. E. Orig. v. P. Quae ergo a principio capitis

NA. 22. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, λέγει αὐτοῖς· ['Αρ- ΡΚΔ. ϛ.
χή.] ἔχετε πίστιν θεοῦ.
23. ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἔιπῃ τῷ
ὄρει τούτῳ· ἄρθητι, καὶ βλήθητι ἐις τὴν
θάλασσαν· καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ
αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται·
ἔσται αὐτῷ ὃ ἐὰν ἔιπῃ. [Τέλος.] Τέλος τῆς γ.

διὰ

XI, 22. NA. τῇ δ. τῆς ιε. [ἐν ἄλλοις, τῆς ζ. καὶ ἐν ἄλλοις· τῇ δ. τῆς α. ἑβδ. τῶν νηστειῶν καὶ δεκεμβρίου θ. εἰς τὴν σύλληψιν τῆς ἁγίας ἄννης.] ἑβδ. ἑ. ὁ κ. [τοῖς ἑαυτοῦ μαθηταῖς·] [ἀμὴν λέγω ὑμῖν· εἰ ἔιχετε] ἔχετε πίστιν θεοῦ· ἀμήν.

pitis ad hunc verſum temere, nominato Marco, contra Marcum, ex ſuis evangeliis mutarit Origenes, ante oculos hic poſita ſunt oculorum uſu nondum privatis. Ipſe vero non ad ſua evangelia, quae nulla unquam fuerunt, niſi fortaſſe corruptiſſima, nec ad ſuos commentarios, ſed ad Codd. N. T. remittit lectores ſana mente praeditos, cum Tom. IV. p. 162. fin. dicit: λόγους, ὅυς ἐστιν (ὀυκ ἀπὸ τῶν ἐμῶν ἐυαγγελίων, ὀυδὲ ἀπὸ τῶν ἐμῶν ἐξηγήσεων, ἀλλ') ἀπ' ἀυτῆς τῆς γραφῆς ἀκριβέστερον λαβεῖν. Nihilo minus tamen reperiuntur, qui, invito etiam Origene, τοὺς ἐσχεδιασμένους αὐτοῦ λόγους καὶ τὰς παραδόξους ἀυτοῦ ἐξηγήσεις litteris ſacris obtrudant. Iam, cum magna pars librorum eius perierit, de multis ſtultorum ac temerariorum ſcribarum et interpretum corruptionibus, ex eo translatis, non niſi coniecturis, ac ne his quidem ſatis certo et ubique, ex Chryſoſtomo, Theophylacto, Theodoreto, Euthymio, Pſeudo-Oecumenio, Damasceno ac praeterea variorum homiliis, ſcriptis asceticis, catenis et ſcholiis iudicare licet. Ita e. c. ſola coniectura eo deductus fueram, ut crederem corruptionem, Eph. I, 1. per Baſilium

M.

ΡΚΕ. δ. διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν πρόσευ- 24.
χόμενοι αἰτεῖσθε, πιςεύετε ὅτι λαμβάνετε·
καὶ ἔςαι ὑμῖν.

Ὑπερβαίνεται ὁ στίχος [illegible] ἔν τισιν.

ΛΔ. περὶ ἀμνησικακίας.

ΡΚϚ. ϛ. καὶ ὅταν ςήκητε προσευχόμενοι, ἀφίετε ἔι 25.
τι ἔχετε κατά τινος· ἵνα καὶ ὁ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς ὀυρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώ-
ματα ὑμῶν.
ἐι δὲ ὑμεῖς ὀυκ ἀφίετε, ὀυδὲ ὁ πατὴρ ὑμῶν 26.
ὁ ἐν τοῖς ὀυρανοῖς ἀφήσει τὰ παραπτώμα-
τα ὑμῶν. [Τέλος.]

Τέλος τῆς δ. ἔν τισι δὲ πρόκειται Ματθ. κεφ. [illegible] λέγω δὲ ὑμῖν αἰτεῖτε καὶ [illegible] ζητεῖτε [illegible]

ΛΕ. πε-

M. ad nos perlatam, ab Origene profectam esse. Hanc tamen coniecturam postea firmatam vidi scholio Origenis, quod repereram in Cod. Aug. 6. Late hac de re exposui in dem Leipziger allgem. litterarischen Anzeiger Nr. 188. S. 1851 — 1854. des Jahrs 1800.

24. αἰτεῖσθε] αἰτῆσθε t αἰτήσησθε. E. De Orig. v. P.
λαμβάνετε] ἐλάβετε t λήψεσθε. E.

25. ὅταν ςήκητε] Orig. I, 198 ἐὰν ςήκητε προσευχόμενοι, ἀφίετε, ἔι τι ἂν ἔχητε κατά τινος. Sed ib. 212. in fine sic: ἔι τι ἔχετε κατά τινος.

26. Appendicem huius versus, quam notat Wetst. Griesb. Birch., in prima editione mea habueram pro epiphonemate lectionis ecclesiasticae. Iam nulla coniectura opus est. Confirmat hoc evangelarium Aug. fol. 223. pag. 2. Gothanum fol. 224. Norimbergense, notante Doederlino, pag. 492. im Altorfischen Museum Band I. Stück 4. Altorf. 1788. Repetita est illa appendix ex Matth, 7. 7. 8. Et Gothanum quidem bis in diversis lectionibus hanc appendicem habet. Vide meam evangeliarii Gothani edit. Lips. 1791. 8. pag. 43. 73. Notetur hoc ad

ΛΕ. περὶ τῶν ἀρχιερέων καὶ γραμματέων.

NB. 27. καὶ [Ἀρχή.] ἔρχονται πάλιν εἰς ἱεροσόλυμα· PKZ. β.
καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι,

28. καὶ λέγουσιν αὐτῷ· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς;

29. ὁ δὲ ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· ἐπερωτήσω ὑμᾶς * καὶ ἐγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

30. τὸ βάπτισμα ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι.

31. καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· ἐὰν εἴπωμεν· ἐξ οὐρανοῦ, ἐρεῖ· διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;

ἀλλ'

XI, 27. NB. τῇ ε. τῆς ια. [ἐν ἄλλοις, τῆς ζ.] ἑβδ. τ. κ. ε. ἦλθεν [ἔρχεται] ὁ ἰησοῦς εἰς ἱεροσόλυμα καὶ ἐν τῷ ἱερῷ.

ad Act. 15, 18. ubi ſimiliter lectioni breviori in fine aliquid aſſutum eſt. Similiter in Praxapoſtolo poſt 1 Cor. 6, — 9. additur Gal. 3, 13. 14. ut alia exempla praetermittam.

27. ἔρχονται prius] ἔρχεται. E. v. Mill. P.

28. καὶ τίς — ποιῇς;] — E. Rurſus ſcribis non nullis repetitio Marco conſueta offenſioni fuit. Accedit, quod h. l. ſunt ὁμοιοτέλευτα.

29. κἀγὼ] καὶ ἐγώ.

31. ἐλογίζοντο] διελογίζοντο. D. Forte ex Matth.
οὖν] — E.

ἀλλ' * εἴπωμεν· ἐξ ἀνθρώπων· ἐφοβοῦντο τὸν 32
λαόν· ἅπαντες γὰρ εἶχον τὸν ἰωάννην, ὅτι
ὄντως προφήτης ἦν·
καὶ ἀποκριθέντες, λέγουσι τῷ ἰησοῦ· οὐκ 33.
οἴδαμεν· καὶ ὁ ἰησοῦς ἀποκριθεὶς, λέγει αὐ-
τοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ
Τέλος τῆς ι. ταῦτα ποιῶ. [Τέλος.]

ΛΓ. περὶ τοῦ ἀμπελῶνος.

ΡΚΗ. β. Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν· XII, 1.
[Ἀρχή.] ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, ΝΓ.
καὶ περιέθηκε φραγμὸν, καὶ ὤρυξεν ὑπολή-
νιόν, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐ-
τὸν γεωργοῖς· καὶ ἀπεδήμησε.

καὶ

XII, 1. ΝΓ. τῇ ς. τῆς ιε. [ἐν ἄλλοις, τῆς ζ.] ἑβδ. ι. ὁ κ. τὴν παραβολὴν ταύτην· ἀμπελῶνα.

32. ἀλλ' ἐὰν] ἐὰν —.

ἐφοβοῦντο] φοβούμεθα t φοβοῦμεν. E. v. P. Illud ex Matthaeo: hoc ex ſcribae Codicis D. et ex Griesbachii ſumme reverendis lexicis. Apud alios enim *timere*, eſt φοβεῖσθαι· φοβεῖν vero, *timorem inIicere.*

εἶχον — ὅτι] inuſitata dicendi forma: in Marco tamen ferenda. Dicendum erat, ut Matth. 14, 15. ὡς προφήτην αὐτὸν εἶχον. Hinc abſurdae temerariorum ſcribarum commenta, ᾔδεισαν, loco εἶχον, et ἀληθῶς, loco ὄντως. Ac ſi ὄντως aliud notet, quam ἀληθῶς. Miſera et indigna eſt conditio criticorum, quibus per coenum ita lutulentum vadendum eſt.

XII, 1. λέγειν] λαλεῖν. E. Ex locis ſimilibus.

Ex his XIII. locis Griesb. notavit VI., prorſus neglexit VII. *Nullam autem omnino ex iſtis lectionibus in contextum recepit.* — Audiamus Erasmum ad Marc. 8, 31. *apparet*, inquit, *data opera mutatam ſcripturam.* — Cui otium eſt, is facile exempla petet ex Luca et Ioanne. Examinari praeterea poſſunt iſti Codices, adhibitis ſic dictis *Concordantiis*, in vocabulis λαλεῖν, λέγειν, εἰπεῖν, κεῖσθαι, ἀνακεῖσθαι, κατακεῖσθαι, κλίνειν, κατακλίνειν, ἀνακλίνειν, ἔρχεσθαι, ἐλθεῖν, πορεύεσθαι et compoſitis, ἀναβαίνειν, ἐμβαίνειν, ἐπιβαίνειν, δέχεσθαι, προσδέχεσθαι, ὑποδέχεσθαι, καλεῖν, ἐπικαλεῖν, ἀποκαλεῖν, ἀκολουθεῖν et compoſitis, δεικνύναι et compoſitis, ἡμέρα, ὥρα, πληρωθῆναι, πλησθῆναι, βοᾷν, φωνεῖν, κράζειν, κραυγάζειν, γινώσκειν, διαγινώσκειν, ἐπιγινώσκειν, εὐλαβὴς, εὐσεβὴς, πύλη, θύρα et centum aliis. Nam de δὲ, γὰρ, οὖν et ſimilibus, additis, omiſſis, permutatis, non eſt opus monere. In his attentus lector facile obſervabit, plures lectiones ad ludibria lectorum ab iſtis ſcribis eſſe confictas. De aliis corruptionibus iſtorum Codd. ex ſcholiis, ex Patribus, tam Graecis, quam Latinis, ex ſic dictis *verſionibus* Latinis, multo minus de veſanis lectionibus, appendicibus et defectibus manifeſtis, tum *verſionum* ſic dictorum orientalium, tum Cod. D. hic non loquor. Poſtquam enim monſtrum illud D. in lucem protractum eſt, quilibet ipſe de eo iudicare poteſt, tametſi Wetſtenius iam ſatis notum reddiderat.

23. ἐλθεῖν] ἀκολουθεῖν t ἔρχεσθαι. E. Orig. I, 281. nominatim.

ἀπαρνησάσθω] ἀρνησάσθω. B.

καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, * καὶ ἀκολου-
θείτω μοι.
ὃς γὰρ * ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, 24.
ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυ-
χὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.
τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν 25.
κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιω-
θείς;
52, β. ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς 26.
λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαι-
σχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ
καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων.

λέγω

καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ] — E.

αὐτοῦ καθ' ἡμέραν] καθ' ἡμέραν —. Orig. l. l. v. P. Euth. 167. II, 390. Quod ſuspicatus fueram in priore editione, id nunc comprobare poſſum. Scilicet ex Patribus et interpretibus hoc illatum. v. Chryſ. VII, 557. b. 629. fin. 630. a. Item Theoph. 368. d. Idem infert Matth. 10, 38. Cyrill. I. de adorat. p. 597. c. Similis corruptio ex Chryſ. eſt verſu 31. Unde autem iſtud καθ' ἡμέραν venit? Ut ſuspicor, ex 1 Cor. 15, 31.

24. γὰρ ἂν] γὰρ ἐάν.

25. ὠφελεῖται] nominatim Orig. l. l.

26. γὰρ ἂν ἐπαισχ.] γὰρ αἰσχυνθῇ Orig. I, 296. nominatim. Sed 298. vulgatum. ibi tamen λόγους abeſt.

αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν] τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν. E. Cyrill. VI, b. 330. c. v. Birch. Iſtud μετὰ Cod. Weiſt. 64. ante τοῦ πατρὸς infert. Orig. I, 296. nominatim appellans Lucam, nihil mutat, nec 298.

27. λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑ- Η. β.
* στώτων, οἳ οὐ μὴ * γεύσωνται θανάτου,
ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ. [Τέ- Τέλος τῆς γ.
λος.]

Λ. περὶ τῆς μεταμορφώσεως.

28. ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ
ΜΕ. ἡμέραι ὀκτὼ, καὶ [Ἀρχή] παραλαβὼν * πέ-
τρον καὶ ἰωάννην καὶ ἰάκωβον, ἀνέβη εἰς τὸ
ὄρος προσεύξασθαι.
29. καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ
εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ
ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.
30. καὶ ἰδοὺ, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτι-
νες ἦσαν μωυσῆς καὶ ἠλίας·

οἳ

IX, 28. ΜΕ. τῷ ὄρθρῳ τῆς μεταμορφώσεως· τ. κ. ἐ. παραλαβὼν ὁ ἰησοῦς τὸν πέτρον καὶ ἰωάννην καὶ ἰάκωβον ἀνέβη. Ἐν ἄλλοις, τῇ δ. τῆς ι. ἑβδ. τ. κ. ἐ. παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην. Ἐν ἄλλοις· τ. κ. ἐ. ἐγένετο μετά.

27. ἑστηκότων] ἑστώτων.

γεύσονται] γεύσωνται.

28. Lectionem, de qua monueram in priore edit., habet Evangeliarium Aug. fol. 255. Augusti die VI. τ. κ. ἐ. παραλαμβάνει. Deest in Goth. Ergo nullam lectionem habet εἰς τὸν ὄρθρον τῆς μεταμορφώσεως; Habet sane, sed Marc. 9, 2—9. Εἰς τὴν λειτουργίαν τῆς αὐτῆς ἡμέρας autem, uti Aug., habet Matth. 17, 1—9.

τὸν πέτρον] τὸν —

ἰωάννην καὶ ἰάκωβον] ἰάκωβον καὶ ἰωάννην. E. v. P.

29. De Orig. v. P.

οἱ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, 31.
ἣν ἔμελλε πληροῦν ἐν ἱερουσαλήμ.
ὁ δὲ πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρη- 32.
μένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν
δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συν-
εστῶτας αὐτῷ.
καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' 33.
αὐτοῦ, εἶπε * πέτρος πρὸς τὸν ἰησοῦν· ἐπι-
στάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποι-
ήσωμεν σκηνὰς τρεῖς, μίαν σοι, καὶ * μίαν
μωυσεῖ, καὶ μίαν ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει.
ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, 34.
καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν
τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην.

καὶ

31. ἔξοδον] δόξαν E. v. P. Euth. 168. I, 676. nota 9. et quae notavi ex Orig. ad verſ. 30. Vulgatum ſervat etiam Orig. I, 690. Ex Chryſoſtomo iſtud venit. v. VII, 567. a. bis. e. 58?. d. Nititur haec *non lectio, ſed interpretatio* Hebr. II, 9. Ἔξοδον diſerte contra Chryſ. tuetur Theophyl. 97. e. 370. c ἔξοδος de *morte* eſt 2 Petr. I, 15. Sapient. Salom. III, 2. Ioſeph. Antiqq. IV, 8. p. 120. b. addit, τοῦ ζῆν.

32. Attingit et explicat Chryſ. VII, 569. c.

33. εἶπεν ὁ] εἶπε.

καὶ ποιήσωμεν] θέλεις ποιήσω ὧδε. Cod. D. Iſte ſcurra ergo ex Matthaeo intulit Marco et Lucae θέλεις, ac praeterea etiam ποιήσω et ὧδε de ſuo addidit. v. Matth. 17, 4. Marc. 9, 5. Nonne hoc eſt fabricari varias lectiones?

μωσεῖ μίαν] μίαν μωσεῖ (μωϋσεῖ t μωσῇ t μωϋσῇ).

μὴ εἰδὼς ὃ λέγει] v. P. Nominatim tribuit Orig. Chryſ. VII, 569. b. Theophyl. 98. c.

35. καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα·
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ
ἀκούετε.

36. καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ
Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ Τέλος τοῦ
ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὄρθρου καὶ ἐν τινι τῆς
ὧν ἑωράκασιν. [Τέλος.] δ. τῆς ε.

ἐγένε-

35. ἀγαπητὸς] ἐκλεκτὸς t ἐκλελεγμένος. E. Posterius in interiore margine ostentat in utraque editione (1777. et 1797.) Griesbachius, cum tamen in farragine variarum lectionum obscurorum virorum id neglexerit. Teste Wetst. habet ita divinus L. teste Birchio divinus Vat. 1209. seu B. Nullus bonus Codex hic varietatem habet. Quid autem Griesbachius? Num alterutrum istorum in contextum recepit? Neutiquam. Continuo vers. 37. Cod. D. habet, διὰ τῆς ἡμέρας, loco ἐν τῇ ἑξῆς ἡμέρᾳ. Sed hoc saltem recepit? Nec hoc.

ἀγαπητὸς] + ἐν ᾧ εὐδόκησα. E. Cyrill. V, b. 369. ὃς qui haec ex Luca, non ex Matth. laudat, ut editor credidit.

36. ὁ Ἰησοῦς μόνος] μόνος ὁ Ἰησοῦς. Cyrill. l. l.

ἐν ἐκείναις — ἑωράκασιν] Evangeliaria non nulla terminant lectionem, omissis reliquis, ita: ἐν ταῖς ἡμέραις ἐκείναις. Sic et in aliis lectionibus in fine unum, duo ac plura vocabula omittunt.

ἑωράκασιν] Scriba Cod. D. primo ἐθέασαν exhibuerat, deinde correctum, ut saltem grammatica ratio constaret, ἐθεάσαντο. Obiter autem intelligitur, quam vetus sit ille Codex, cum aetate illius scribae adhuc in usu esset activum θεᾶν. Ante tempora Troiana vixerit, necesse est. Plures eiusmodi formas vocabulorum habet, quae post ista tempora prorsus exoleverunt.

50. β. ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, [Ἀρχή.] κατ- 37. ΜΞ.
ελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν
αὐτῷ ὄχλος πολύς.

ΛΑ. περὶ τοῦ σεληνιαζομένου.

καὶ ἰδού, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέ- 38.
γων· διδάσκαλε, δέομαί σου, * ἐπίβλεψαι
ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστί μοι.
καὶ ἰδού, πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαί- 39.
φνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ
ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ, συν-
τρίβον αὐτόν.
καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα * ἐκβά- 40.
λωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν.
ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε· ὦ γενεὰ ἄπι- 41.
στος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς
ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε * τὸν
υἱόν σου ὧδε.
ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔῤῥηξεν αὐτὸν 42.
τὸ δαιμόνιον καὶ συνεσπάραξεν· ἐπετίμησε
δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ
ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν αὐτὸν τῷ
πατρὶ αὐτοῦ.

ἐξ-

IX. 37. ΜΞ. σαββάτῳ η. τ. κ. ε. [κατελθόντος τοῦ Ἰησοῦ]. κατελθόντι τῷ Ἰησοῦ ἀπὸ τοῦ ὄρους.

37. v. P. Ut hic, ita in Matth. 20, 29. similis est in principio lectionis ecclesiasticae immutatio.

38. ἐπίβλεψον] ἐπιβλέψαι E. ἐπίβλεψαι. v. P. Birch.

40. ἐκβάλλωσιν] ἐκβάλωσιν.

41. ὧδε τὸν υἱόν σου] τὸν υἱόν σου ὧδε. v. Birch.

42. ἔῤῥηξεν] ἔῤῥιψεν. E. v. P.

43. ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότη- Ρ. η.
τι τοῦ θεοῦ· [Τέλος.] πάντων δὲ θαυμαζόν- Τέλος τοῦ
ΜΖ. των ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, [Ἀρχή.] σαββάτου.
εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ·
44. θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους ΡΑ. β.
τούτους. ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει
παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.
45. οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρα-
κεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται
αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ
τοῦ ῥήματος τούτου.

ΛΒ. περὶ τῶν διαλογιζομένων, τίς μείζων.

46. εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν ΡΒ. β.
εἴη μείζων αὐτῶν·
47. ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρ-
δίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν
αὐτὸ παρ' ἑαυτῷ.
48. καὶ εἶπεν αὐτοῖς· ὃς ἐὰν δέξηται τοῦτο τὸ
παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται·
καὶ

IX, 43. ΜΖ. τῇ δ. [ἐν ἄλλοις, τῇ ε.] τῆς ς. ἑβδ. ἰ. ὁ κ. [πρὸς τοὺς ἑαυτοῦ μαθητάς.] τοῖς ἑαυτοῦ μαθηταῖς· θέσθε ὑμεῖς.

43. ἐποίησεν] ἐποίει. E. Hoc nec postea in ullo reperi. Ex vulgata: *quae faciebat.*

45. Cum varietate recitat Chryſ. VII, 578. 584.

47. ἰδὼν] εἰδὼς t γνούς. E.

ἐπιλαβόμενος] προσλαβόμενος t λαβών. E. Per Origenem, qui utrumque nominatim tribuit Lucae, utrumvis licet eligere. v. P. Unus ſcriba Cod. 52. expiscatus eſt προσλαβόμενος. Griesbachius etiam in noviſſima editione ſilet.

καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστεί-
λαντά με· ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν
ὑπάρχων, οὗτος ἔσται μέγας.

ΡΓ. θ. ἀποκριθεὶς δὲ ὁ ἰωάννης, εἶπεν· [Ἀρχή.] ἐπι- 49. ΜΗ.
στάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκ-
βάλλοντα * δαιμόνια· καὶ ἐκωλύσαμεν αὐ-
τὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν.
καὶ εἶπε πρὸς αὐτὸν ὁ ἰησοῦς· μὴ κωλύετε· 50.
ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

Τέλος τῆς δ. [Τέλος.]

ΡΔ. ι. [Ἀρχή.] ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι 51. ΜΗ.
τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐ-
τὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύε-
σθαι εἰς ἱερουσαλήμ.

καὶ

IX, 49. ΜΗ. τῇ ι. τῆς ι. ἑβδ. τ. κ. ἐ. προσελθὼν τῷ ἰησοῦ εἷς τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· ἐπιστάτα.

IX, 51. ΜΗ. εἰς τὴν ἀνακομιδὴν τοῦ ἁγίου μανδυλίου ἐκ τῆς ἐδεσηνῶν (sic MSS.) πόλεως εἰς τὴν ἁγίαν κωνσταντίνου πόλιν, αὐγούστου ιϛ. τ. κ. ἐ. ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως τοῦ ἰησοῦ καὶ αὐτός.

48. ἔσται] ἐστι. E. Orig. utrumque invexit. Quod Lucae tribuitur ab editore Orig. IV, 271. elt ex Matth. 10, 40. Saepe in his erratum ab editoribus. v. P.

49. τὰ δαιμόνια] τὰ —

50. ἡμῶν — ἡμῶν] ὑμῶν — ὑμῶν. E. v. P. Suspicatus fueram, ex fcholiis invectum eſſe. Atqui ita Chryſ. VII, 448. c. ubi etiam verſ. 49. ἐν, loco ἐπὶ exhibet.

51. Lectionem hanc in Auguſti diem 16. in ſolo Mosq. c. reperi. Ea ita compoſita eſt: Luc. 9, 51 — 57. 10, 22 — 24. 13, 22. In eandem liturgiam in paucis

Praxa-

52. καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐ-
τοῦ· καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην σα-
μαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ.
53. καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον
αὐτοῦ ἦν πορευόμενον εἰς ἱερουσαλήμ.
54. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἰάκωβος καὶ
ἰωάννης, εἶπον· κύριε, θέλεις εἴπωμεν πῦρ
καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι
αὐτοὺς, ὡς καὶ ἠλίας ἐποίησε;
55. στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, [Ὑπέρβα]·
καὶ εἶπεν· οὐκ οἴδατε οἵου πνεύματός ἐστε
ὑμεῖς.

Ἐντεῦθεν ὑπερβαίνει τινὰ εἰς τὸ, καὶ ἐπορεύθησαν.

Praxapoſtolis legitur 2 Tim. 4, 5—8. Fuit haec ſolemnitas propria eccleſiae Conſtantinopolitanae. Alia autem eſt lectio in eundem diem in memoriam S, Diomedis Io. 15, 1—7. quam alia Evangeliaria verſu 11. terminant.

52. προσώπου αὐτοῦ] προσώπου ἑαυτοῦ. A.

54. εἴπωμεν κ. τ. λ.] εἴπομεν — ἀπὸ οὐρανοῦ. E. Cyrill. IV, 1017. ἐκ τοῦ οὐρανοῦ. Chryſ. VII, 567. e.

55. καὶ εἶπεν — verſ. 56. σῶσαι] — E. Praeter ea, quae dixi in priore editione, addo haec: Ex iis, quos poſtea examinavi, omittunt ſoli Aug. 10. et 11. qui ſunt cum ſcholiis Theophylacti. Ultima pars ſcholii, εἰδέναι δὲ δεῖ, legitur etiam in Cod. Aug. 9. ubi id Cyrillo tribuitur. Evangeliaria non nulla in una lectione illa omittunt, ut iam monui. Scilicet, ut 8, 36. 37. et 10, 4—9. Alia Evangeliaria omittunt omnia a verſ. 44. ad 57. Chryſoſtomus, qui haec alicubi omittit, eodem modo in ſimili ſententia Matth. 17, 20. auctor corruptionis extitit. Ipſe tamen hunc, quem nunc tractamus locum, reſpicit IX, 677. c. οὐκ οἴδατε, ποίου πνεύματός ἐστε. Idem laudat X, 305. v. P. Euth. 168. II, 403.

οἵου] ποίου. E.

ΡΕ. ι. ὁ γὰρ ὑιὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς 56.
Ἄρξου. ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. [Ἄρξου.]
Τέλος τῆς ι. καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. [Τέλος.]

ΛΓ. περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

[Ἀρχή.] ἐγένετο δὲ πορευομένων αὐτῶν, ἐν 57. ΜΘ.
Ὑπέρβα τοῦ μανδυλίου εἰς κεφ. νβ. τῇ ὁδῷ [Ὑπέρβα.] εἶπέ τις πρὸς αὐτόν· ἀκο-
λουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, κύριε.
καὶ εἶπεν αὐτῷ ὁ ἰησοῦς· αἱ ἀλώπεκες φω- 58.
λεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
κατασκηνώσεις· ὁ δὲ ὑιὸς τοῦ ἀνθρώπου οὐκ
ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.
εἶπε δὲ πρὸς ἕτερον· ἀκολούθει μοι. ὁ δὲ εἶπε· 59.
κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θά-
ψαι τὸν πατέρα μου.
εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς· ἄφες τοὺς νεκροὺς 60.
θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν
διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ.
ΡϚ. ι. εἶπε δὲ καὶ ἕτερος· ἀκολουθήσω σοι, κύριε· 61.
πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς
εἰς τὸν οἶκόν μου.
εἶπε δὲ * ὁ ἰησοῦς πρὸς αὐτόν· οὐδεὶς ἐπι- 62.
βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ
βλέ-

IX, 57. ΜΘ. σαββάτῳ θ. τ. κ. ἑ. ἐγένετο πορευομένου τοῦ ἰησοῦ ἐν τῇ ὁδῷ.

57. ἐγένετο δὲ] καὶ ἐγένετο. Ε.

ὅπου ἂν] ὅπου ἐάν. Α.

59. ἀπελθόντι] ἀπελθεῖν. Ε.

62. πρὸς αὐτὸν ὁ ἰησοῦς] ὁ ἰησοῦς πρὸς αὐτόν.

βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. [Τέλος.] Τέλος τοῦ σαββάτου.

ΛΔ. περὶ τῶν ἀναδειχθέντων ό.

N. X, 1. Μετὰ δὲ ταῦτα [Ἀρχή.] ἀνέδειξεν ὁ κύριος ΡΖ. ι.
καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς

X, 1. N. τῇ ς. τῆς ε. ἑβδ. καὶ σεπτεμβρίῳ δ. τοῦ ἁγίου μάρτυρος Βαβύλα. τὸ αὐτὸ καὶ εἰς ἀποστόλους. τ. κ. ε. ἀνέδειξεν ὁ κύριος καὶ [ἄλλους.] ἑτέρους. [τ. κ. ε. ἀπέστειλεν ὁ Ἰησοῦς ἐκ τῶν μαθητῶν αὐτοῦ ἀνὰ δύο πρό.]

βλέπων] στραφείς. E. Chrys. VII, 331. b. qui ibi alia etiam mutat. Orig. III, 207. seq. 158. βαλὼν — χεῖρα ἐπ' — στραφεὶς — τῇ βασιλείᾳ τοῦ θεοῦ. et 250. d. obiter laudans: βαλὼν — στραφῇ. Cyrill. I, a. 27. qui ipse etiam alia mutat. Theoph. in schol. 472. a. Clem. Alex. 756. b. qui alia mutans, βλέπων tamen servat. Ex iis Codd. quos postea comparavi, nullus varietatem habet, ne quidem Codices Theophylacti.

1. καὶ ἑτέρους] καὶ — E. Cyrill. I. g. 284.

ἑβδομήκοντα] + δύο. E. v. P. hic et vers. 17. Ex Graecis fortasse solus Epiphan. I. 50. hunc numerum habet. E Latinis contra est Tertull. apud Sabat. Credebant non nulli, hic natatum esse numerum rotundum, ut fortasse etiam Exod. 15, 27. et in loco de septuaginta senioribus a Mose lectis. Utrumque enim locum hic memorant interpretes graeci. Nam sex ex singulis tribubus efficiunt 72. Contra sunt Codd. omnino omnes praeter paucos ex Vulg. latina corruptos, qui nec infra vers. 17. inter se consentiunt. v. Wetst. Birch. Ut taceam de editis scholiis et interpretationibus graecis, in MSS. duo scholia ad h. l. leguntur. Alterum incipit: τῆς ἀποστολῆς τῶν ό. — τῶν ἐπὶ γῆς. Alterum Titi (Bostrensis:) τούτου ὁ τύπος — ἑτέρους ό. Nihil in istis scholiis reperi de 72. Ista comparatio utrius-

τοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

ΡΗ. ι. ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πο- 2.
λὺς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως * ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

ΡΘ. ι. ὑπάγετε· [Ἀρχή.] ἰδοὺ, ἐγὼ ἀποςέλλω ὑμᾶς 3. N.
ὡς ἄρνας ἐν μέσῳ λύκων.

ΡΙ. β. [Ὑπέρβα.] μὴ βαςάζετε βαλάντιον, μὴ 4.
Ὑπέρβα τῆς γ. πήραν, μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε.

εἰς

X, 3. N. ἔν τισιν, εἰς ἀποςόλους· ι. ὁ κ. ἰδοὺ ἐγώ. utriusque loci V. Teſt. arguere videtur ingenium Origenis. Fortaſſe ergo iſte de ſuis ſatellitibus iſtos duos allegavit ad S. Hieronymum, qui omnia, ut prae ſe fert, ad graecam veritatem, hoc eſt, ad mendacia Origenis, exigere ſolet. Hic non quaeritur, quot omnino fuerint, ſed quid Lucas ſcripſerit? Atqui idem, quod Moſes, ſcripſit. Alii interpres graeci opinabantur, hos 70. datos eſſe in disciplinam 12 Apoſtolorum. Ergo ita quoque requirebantur 72. ut ſinguli 6. acciperent. Quid vero, ſi Iudas Iſcariotes tantum 4. acceperit, cum praeſertim aliis negotiis eſſet impeditus. Erat enim ἀρχιγαζοφύλαξ. — Quae vos dementia cepit? v. Caten. in Octateuch. a Nicephoro Lipſiae editam T. I. p. 726. 727. 728. 764. et Caten. Cord. in Lucam p. 297.

ἀνὰ δύο] δύο δύο t ἀνὰ δύο δύο. E.

ἔρχεσθαι] εἰσέρχεσθαι t διέρχεσθαι. E.

2. ἐκβάλλῃ] ἐκβάλῃ.

4. βαλάντιον] Alii Codd. et hic et alibi exhibent βαλλάντιον.

ἀσπάσησθε] de Orig. v. P. Ibidem in fine ſcholii malim, παρεμπιπτούσης.

5. εἰς ἣν δ᾽ ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγε- ΡΙΑ. ε.
τε· εἰρήνη τῷ οἴκῳ τούτῳ.

6. καὶ ἐὰν * ᾖ ἐκεῖ * υἱὸς εἰρήνης, ἐπαναπαύσε-
ται ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε,
ἐφ᾽ ὑμᾶς ἀνακάμψει.

7. ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ ΡΙΒ. β.
πίνοντες τὰ παρ᾽ αὐτῶν· ἄξιος γὰρ ὁ ἐργά-
της τοῦ μισθοῦ αὐτοῦ ἐστι. μὴ μεταβαίνετε
ἐξ οἰκίας εἰς οἰκίαν.

8. καὶ εἰς ἣν * ἂν πόλιν εἰσέρχησθε, καὶ δέ- ΡΙΓ. ι.
χωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα
ὑμῖν,

9. καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ
λέγετε αὐτοῖς· ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασι- Τέλος ἔν τισι τῶν ἀποστόλων.
λεία τοῦ θεοῦ. [Τέλος.]

10. [Ἄρξου.] εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ ΡΙΔ. β.
μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλα- Ἄρξου τῆς.
τείας αὐτῆς, εἴπατε·

καὶ

5. εἰσέρχησθε] et hic et verſ. 8. 10. quidam temere ex Matth. εἰσέλθητε.

6. ἐὰν μὲν] μὲν —. Mox, ἐκεῖ ᾖ υἱὸς — ἡ εἰρ. ὑμ. ἐπ᾽ αὐτ. ἀναπ. — γε ἡ εἰρήνη ὑμῶν ἐφ᾽. Orig. IV, 425. ἐὰν μὲν ᾖ ἐκεῖ υ. εἰρ. ἡ εἰρ. υ. ε. α. ἀναπαύσεται ἐὰν δὲ μὴ ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἡ εἰρ. ὑμ. ἐφ᾽. 441.
ὁ υἱὸς] ὁ —

7. αὐτοῦ ἐστι] ἐστι — E. Cyrill. I, a. 140.

8. ἣν δ᾽] δ᾽ —. Mox, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. Chryſ. VII, 486. b.
δέχωνται] δέχονται. D. Sic et verſ. 10.

10. εἰσέρχησθε] εἰσέλθητε. E. Fabricatores variarum lectionum, Wetſt. C. D. L. 1. 13. 69. Venet. 10. adeo εἰσέλθετε. Ego id nec poſtea in ulio reperi.

καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ 11.
τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν· πλὴν
τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βα-
σιλεία τοῦ θεοῦ.

Τινὰ ἐντεῦθεν ἄρχεται μετὰ τὴν ὑπέρβασιν. [Ἄρξου.] λέγω * ὑμῖν, ὅτι σοδόμοις ἐν τῇ 12.
ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσαι, ἢ τῇ πόλει
ἐκείνῃ·

ΡΙΕ. ε. οὐαί σοι χοραζίν, οὐαί σοι βηθσαϊδά· ὅτι εἰ 13.
ἐν τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ
γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ
σποδῷ καθήμεναι μετενόησαν.

πλὴν τύρῳ καὶ σιδῶνι ἀνεκτότερον ἔσαι ἐν τῇ 14.
κρίσει, ἢ ὑμῖν.

καὶ σὺ καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψω- 15.
Τέλος τῆς ε. θεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. [Τέλος.]
[Ἀρχή.]

11. ὑμῶν] + εἰς τοὺς πόδας (ἡμῶν.) D. Post priorem editionem inveni tantum in duobus Evangeliariis. v. P.
ἐφ' ὑμᾶς] —. E. v. P.

12. λέγω δὲ] δὲ —
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ] ἐν ἡμέρᾳ κρίσεως t ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. E. Recensio occidentalis sive scurrilis.

13. χοραζὶν] Varie hoc vexatum a scribis. Graecis in mente erat χώρα.
ἐγένοντο] ἐγενήθησαν. E. Recensio occidentalis. v. P. In novissima editione, a me monitus, hoc notavit Griesb.
καθήμεναι] καθήμενοι t —. E. Scilicet urbes non possunt *sedere*, sed incolae. Ergo alii mutarunt, alii deleverunt. Ingeniose! Ergo Marc. 1, 33. corrigendum erit: ὁ πόλις ὅλος ἐπισυνηγμένος ἦν πρὸς τὴν θύραν.

15. ἡ ἕως κ. τ. λ.] v. P. Euth. 169. Paucis et infimis scribis

ΝΑ. 16. [Ἀρχή.] ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ΡΙΣ. α.
ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν,
ἀθετεῖ τὸν ἀποστείλαντά με.
17. ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, ΡΙΖ. ι.
λέγοντες· κύριε, καὶ τὰ δαιμόνια ὑποτάσ-
σεται ἡμῖν ἐν τῷ ὀνόματί σου.
18. εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν, ὡς
ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα.
ΝΑ. 19. [Ἀρχή.] ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ
πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ
πᾶσαν

X, 16. ΝΑ. σαββάτῳ ι. [ἐν ἄλλῳ· ὀκτωβρίῳ ιη. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ λουκᾶ. ἐν ἄλλῳ· καὶ εἰς ἀποστόλους.] ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν.

X, 19. ΝΑ. τοῦ ἁγίου τρύφωνος φεβρουαρίου α. καὶ εἰς ἀσωμάτους καὶ ἀποστόλους. ἐν ἄλλοις δὲ καὶ σαββάτῳ ι. ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ, δίδωμι [δέδωκα.] ὑμῖν.

ſcribis non ſatis fuit corrupiſſe Matth. 11, 23. ſed nugas iſtas hic quoque infarſerunt. Theoph. nihil mutat 380. c. in contextu, ſed in ſcholio variat, quod licet interpreti. Chryſ. VIII, 132. e. ſine varietate, ſed 203. b. ὑψώθης, ut Theophyl. in ſcholio. In priore editione oblitus fueram terminum lectionis ex ſynaxario, quod nunc Dresdae eſt, notare. Habet ergo ſic: καὶ σὺ — ἕως τοῦ (hoc ſolum interponit.) καταβιβασθήσῃ. Scurrilem iſtam lectionem nec poſtea in ullo reperi, ut credibile eſt. Nec enim ſterquilinia excutio. Mox rurſus verſ. 16. ſeſe commendant illi Codices. Num ergo horum quicquam in textum recepit, aut in interiore margine oſtentavit Griesbachius? Neutiquam. Pudebat enim.

17. Negligentius laudat Cyrill. VI, a. 224. Chryſ. III, 69. χαρᾶς] poſt hoc in Mosq. z. aliquanto poſt inſertum: μεγάλης.

18. Alludit Cyrill. IV, 507. Orig. I, 242. d.

πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν
ὑμᾶς οὐ μὴ * ἀδικήσῃ.
πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύμα- 20.
τα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ, * ὅτι τὰ
ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.
ΡΙΗ. 1. ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι 21.
ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι πά-
τερ,

19. δίδωμι] δέδωκα. E. Orig. I, 298. attingit, ibique plura mutat. Item 161. a. 218. d. 423. 735. II, 608. Ex his locis nihil efficitur. Sed I, 744. δέδωκα ὑμῖν ἐξουσ. — ἀδικήσει. et II, 612. δέδωκα — ἐξουσ. πατ. Primum locum solum laudavit Wetst. Cyrill. I, a. 158. δέδωκα ὑμῖν ἐξουσ. πατ. I, g. 391. δέδωκα ὑμῖν πατεῖν ἐπάνω. Sic et II, 359. III, 25. διδόντος πατεῖν V, b. 5. δέδωκα ὑμῖν πατεῖν ἐπάνω — ἀδικήσει. Sic et 36. et 180. sed hic ἀδικήσῃ. Laudat etiam Chrys. IX, 8. c. XI, 171. 240. bis. Quid ergo fiet vocabulis, τὴν ἐξουσίαν τοῦ; Scilicet cum δίδωμι auctoritate Codd. servabuntur.

ἀδικήσει] ἀδικήσῃ.

20. πνεύματα] δαιμόνια. E. Est explicatio. v. P. Euth. 169—172. Chrisost. invexit ex Matth. 7, 22. v. VII, 299. e. 376. c. VIII, 427. c. ut mittam reliquos locos. v. Cyrill. I, a. 112. qui et μᾶλλον et γέγραπται habet. 380. ἐγγέγραπται. II, 74. μᾶλλον et γέγραπται. III, 863. μᾶλλον — ἐγράφησαν. Nonne ergo ridiculum, quod a Wetst. et Griesb. ex Cyrillo solum laudatur ἐγγέγραπται; Quid autem ex Patribus efficitur vers. 19. et 20? Audiendos esse incorruptos Codices Graecos N. Test.

δὲ μᾶλλον] μᾶλλον — Orig. III, 238. χαίρετε ὅτι τὰ — γέγραπται. Birch laudat etiam ἐνεγράφη.

21. τῷ πνεύματι] ἐν τῷ πνεύματι τῷ ἁγίῳ. E. v. P. Euth. 172. Chrys. VII, 426. d. Laudat Orig. I, 221. et ἐξομολογοῦμαι explicat εὐχαριστῶ.

τερ, κύριε τοῦ ὀυρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο ἐυδοκία ἔμπροσθέν σου. [Τέλος.] καὶ ϛραφεὶς πρὸς τοὺς μαθητὰς, εἶπε· Τέλος πάντων.

NB. 22. [Ἄρξου.] [Αρχή.] πάντα * μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ ὀυδεὶς γινώσκει τίς ἐϛιν ὁ ὑιὸς, ἐι μὴ ὁ πατὴρ· καὶ τίς ἐϛιν ὁ πατὴρ, ἐι μὴ ὁ ὑιὸς, καὶ ᾧ ἐὰν βούληται ὁ ὑιὸς ἀποκαλύψαι. ΡΙΘ. γ. Ἄρξου τοῦ μανδυλίου οὕτως· εἶπε γε τοῖς ἀκολουθοῦσιν αὐτῷ· πάντα κ. τ. ἑ.

23. καὶ ϛραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. ΡΚ. ε.

λέγω

Χ, 22. NB. τῇ β. τῆς ϛ. ἑβδ. καὶ εἰς ὁσίους· εἶπε ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη.

22. καὶ ϛραφεὶς ad verſ. 22. ἀποκαλύψαι] — E. Haec cum ſcholio per negligentiam exciderunt ex uno Euthymii Cod. Mosq. n. Docet id alter Cod. i.

καὶ ϛραφεὶς — εἶπε] — E. Omittit haec cum paucis Theophyl. Cod. Mosq. m. Servat Theophyl. edit. 382. c. In ſcholio non erat neceſſe haec explicare. Servant itidem duo Codd. Theophyl. Augg. 10. 11. cum reliquis, quos poſtea examinavi. v. P. ad h. l. et ad 9, 57. Ut hic verſ. 22. 23. est ϛραφεὶς — ϛραφεὶς, ita Io. 20, 14. 16. ἐπιϛραφεὶς — ϛραφεῖσα. v. Chryſ. I, 484.

παρεδόθη μοι] μοι παρεδόθη.

γινώσκει] ἐπιγινώσκει. D. Orig. I, 440. non videtur huc reſpexiſſe, nec IV, 315.

23. ἃ] + ὑμεῖς. E. v. Euth. 106.

βλέπετε] + καὶ ἀκούοντες (nimirum, οἱ ὀφθαλμοί.) ἃ ἀκούετε. Cod. D. ſeu recenſio occidentalis. Non-

λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ 24.
βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε,
Ὑπέρβα τοῦ καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ
μανδυλίου οὐκ ἤκουσαν. [Ὑπέρβα.] [Τέλος.]
εἰς κεφ. οβ.
Τέλος τῆς β. ΛΕ. περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.

ΡΚΑ. β. καὶ ἰδοὺ, [Ἀρχή.] νομικός τις ἀνέστη, ἐκπει- 25. ΝΓ.
ράζων αὐτὸν, καὶ λέγων· διδάσκαλε, τί ποι-
ήσας ζωὴν αἰώνιον κληρονομήσω;

ὁ δὲ εἶπε πρὸς αὐτόν· ἐν τῷ νόμῳ τί γέγρα- 26.
πται; πῶς ἀναγινώσκεις;

ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἀγαπήσεις κύριον τὸν 27.
θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ
ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος
σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν
πλησίον σου ὡς σεαυτόν.

εἶπε δὲ αὐτῷ· ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, 28.
καὶ ζήσῃ.

X, 25. ΝΓ. κυριακῇ η. τ. κ. ἐ. νομικός τις [προσῆλθε τῷ ἰησοῦ πειράζων καὶ λέγων.] ἀνέστη ἐκπειράζων τὸν ἰησοῦν καὶ λέγων.

ne hoc ridiculum? Volebat autem ad latinum fingere, καὶ τὰ ὦτα τὰ ἀκούοντα ἃ ἀκούετε. vide supra Luc. 6. 39.

24. εἶδον] εἶδαν. Vat. 1209. seu B.

25. ἀνέστη] προσῆλθεν. E. v. P.
ἐκπειράζων] πειράζων. E. v. P. Eodem modo incipiunt Evangeliaria Aug. et Goth.

27. σεαυτὸν] ἑαυτόν. A.

28. ζήσῃ] σώζῃ. B. Est error negligentiae. Deberet enim esse σωθήσῃ.

29. ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν ΡΚΒ. ι.
ἰησοῦν· καὶ τίς ἐστί μου πλησίον;

ΛΓ. περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς.

30. ὑπολαβὼν δὲ ὁ ἰησοῦς, εἶπε· ἄνθρωπός τις
κατέβαινεν ἀπὸ ἱερουσαλὴμ εἰς ἱεριχὼ, καὶ
λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν
καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες
ἡμιθανῆ τυγχάνοντα.
31. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν
τῇ ὁδῷ ἐκείνῃ· καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλ-
θεν.
32. ὁμοίως δὲ καὶ λευίτης, γενόμενος κατὰ τὸν
τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθεν.
33. σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν,
καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη·
34. καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐ-
τοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας
δὲ

29. δικαιοῦν] δικαιῶσαι. E.

30. ἐκδύσαντες] ἐξέδυσαν. E.

τυγχάνοντα] — E. Scilicet, quia vulg. latina non addidit latinissimum illud; *existente*. Tractat haec Chrys. I, 678. 692. XII, 108.

31. συγκυρίαν] τύχαι. E. recensio occidentalis, a τύξ, τυχὸς, τύχαι. Τύχην forte volebat.

32. γενόμενος et ἐλθὼν] alterutrum — E. Quod credebant, utrumque locum habere non posse. Ἐλθὼν explica προσεγγίσας aut προσελθών.

34. ἔλαιον καὶ οἶνον] οἶνον καὶ ἔλαιον. E. Recte quidem! Sed illo modo scripsit Lucas, etsi medicus erat.

δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν
εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ.
καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο 35.
δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ·
ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ, τι ἂν προσδαπα-
νήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώ-
σω σοι.
τίς οὖν τούτων τῶν τριῶν * πλησίον δοκεῖ σοι 36.
γεγονέναι· τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;
ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ· 37.
εἶπεν οὖν αὐτῷ ὁ ἰησοῦς· πορεύου, καὶ σὺ
Τέλος τῆς κυριακῆς. ποίει ὁμοίως. [Τέλος.]

ΛΖ. περὶ μάρθας καὶ μαρίας.

ἐγένετο δὲ ἐν τῷ πορεύεσθαί αὐτοὺς, καὶ 38. ΝΔ.
αὐτὸς [Ἀρχή.] εἰσῆλθεν εἰς κώμην τινά· γυ-
νὴ δέ τις ὀνόματι μάρθα ὑπεδέξατο αὐτὸν
εἰς τὸν οἶκον αὐτῆς.
καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη μαρία, ἣ 39.
καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ
ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ.
ἡ δὲ μάρθα περιεσπᾶτο περὶ πολλὴν δια- 40.
κονίαν· ἐπιστᾶσα δὲ εἶπε· κύριε, οὐ μέλει σοι
ὅτι

X, 38. ΝΔ. εἰς τὴν λειτουργίαν τῶν ἑορτῶν τῆς ὑπερ-
αγίας θεοτόκου· τ. κ. ἑ. [ἦλθεν] εἰσῆλθεν ὁ ἰησοῦς
εἰς κώμην.

35. ἐξελθὼν] — E. v. P.

36. δοκεῖ σοι πλησίον] πλησίον δοκεῖ σοι.

39. παρακαθίσασα] παρακαθεσθεῖσα. E.
τὸν λόγον] τῶν λόγων. A.

ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακο-
νεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.
41. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ ἰησοῦς· μάρθα
μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά·
42. ἑνὸς δέ ἐστι χρεία· μαρία δὲ τὴν ἀγαθὴν με-
ρίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' Ὑπέρβα τῆς λειτουργίας εἰς κεφ. ρλα.
αὐτῆς. [Ὑπέρβα.]

ΛΗ. περὶ προσευχῆς.

ΝΕ. XI, 1. Καὶ [Ἀρχή.] ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν ΡΚΓ. ε.
τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ
τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· κύριε,
δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ ἰω-
άννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ·

εἶπε

XI, 1. ΝΕ. τῇ γ. τῆς ς. ἑβδ. τ. κ. ε. ἐγένετο ἐν τῷ εἶναι τὸν ἰησοῦν ἐν τόπῳ. [Τ. κ. ε. εἶπέ τις τῶν μαθητῶν [τοῦ] ἰησοῦ πρὸς αὐτόν. Ἐν τισιν ἰουνίου ε. εἰς τὸν ὅσιον δωρόθεον οὕτω· τ. κ. ε. προσῆλθον τῷ ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· δίδαξον, κύριε. Ἐν ἄλλῳ σεπτεμβρίου κε. εἰς τὴν λιτὴν τοῦ κάμπου (campi). Ἐν ἄλλῳ δεκεμβρίου ιβ. εἰς τὸν ὅσιον σπυρίδωνα καὶ εἰς ἐπινίκια βασιλέων. τ. κ. ε. προσῆλθον οἱ μαθ. τῷ ἰησοῦ καὶ εἶπον αὐτῷ· κύριε.]

41. τυρβάζῃ] θορυβάζῃ. E. θορυβάζεσθαι non memini legere, sed θορυβεῖσθαι. Credo, illud ortum esse ex confusione vocabulorum τύρβη et θόρυβος. Orig. in Caten. Cord. ad Io. 11; 2. p. 278. habet θορυβῇ. Forte ergo illud ita ortum et conflatum, θορυ (βῇ τυρ) βάζῃ. v. 11, 42. Laudat haec Damasc. II, 375.

42. ἑνὸς] ὀλίγων. E. v. P. Euth. 173. Nihil mutat Chrys. VIII, 259. b. d. e. ἑνὸς habet etiam Theoph. 645. b. 388. d. sed allegoricam interpretationem, de qua v. P., notans 729. d. habet ὀλίγων. Cyrill. I, a. 469. laudat solum: τὴν καλὴν μερ. — αὐτῆς. Orige-

ἔιπε δὲ αὐτοῖς· ὅταν προσεύχησθε, λέγετε· 2.
πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω
τὸ

Origenem auctorem esse istius interpretationis et lectionis, nemo dubitabit. Eum hic quoque secutus est Basil. M. Quaestio iam oritur, qui Codd. habeant θορυβάζῃ et ὀλίγων; Scilicet θορυβάζῃ Wetst. B. C. D. L. 1. 33. ὀλίγων. B L. 1. 38. Istam partem prorsus omittit D. Ex meis nullus hic varietatem habet, nec ex iis, quos post priorem editionem consului. Idem videre licet in ceteris huius et proximi capitis corruptionibus.

XI, 1. καὶ ἐγένετο] ἐγένετο δέ. E. ex vers. 27. v. P. Chrys. I, 531. Hanc totam lectionem ab vers. 1 — 13. exhibet Evangeliarium Aug. fol. 224. Goth. 1 — 10. fol. 211.

2. προσεύχησθε] προσεύχεσθε. E. Die beiden Vater-Unser sind in den Griesbachischen Ausgaben so zerrüttet, daſs sie Kartoffelfeldern gleichen, in welchen die wilden Schweine gewühlt. Auch hat wirklich Origenes, der Keuler, mit seinen Alexandrinischen und Occidentalischen Ferkeln hier gewühlt. So arg machten es die Complutenser doch nicht! De toto loco v. P. 249. seqq. 504. seqq.

προσεύχησθε] Cod. Wetst. D. hic statim in principio capitis ad reliqua huius capitis se commendat. Solus enim addit: μὴ βαττολογεῖτε, (pro eo idem Matth. 6, 7. habet βλαττολογήσηται. Sic. Et ex correctione, βαττολογήσηται. Sic. Ibid. vers. 8. solus ἀνοῖξαι τὸ στόμα, loco αἰτῆσαι αὐτόν.) ὡς οἱ λοιποί· δοκοῦσι γάρ τινες, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται· ἀλλὰ προσευχόμενοι. Ex eo, quod unus scurra pro more suo, isque omnium infimus., Lucam hic ex Matthaeo interpolavit, colligit Griesbachius, reliquos praestantissimorum et vetustissimorum Codicum scribas omnes cetera harum precum ex Matthaeo interpolasse. v. edit. 1797. p. 335. nota h. Subtiliter! Vid. v. 43. 44. 48. 53.

ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς] — E. v. P.

τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενη-
θήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ
ἐπὶ τῆς γῆς.
3. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ὑμῖν τὸ
καθ' ἡμέραν.
4. καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ
αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ
ἐισενέγκῃς ἡμᾶς ἐις πειρασμὸν, ἀλλὰ ῥῦσαι
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

καὶ

γενηθήτω — τῆς γῆς] — E.

4. τὰς ἁμαρτίας] τὰ ἁμαρτήματα t τὰ παραπτώματα t τὰ ὀφειλήματα. E. Deest adhuc, τὰ ἀγνοήματα, τὰ παροράματα et quae sunt generis eiusdem. Quae vero hic varietates reperiuntur in probis Codicibus? Nullae.

ἀλλὰ ῥῦσαι — πονηροῦ] — E. v. P. Ex meis, quos post priorem edit. comparavi, nullus quicquam omittit, praeter Theophyl. Aug. 10. in quo desunt, καὶ μὴ εἰσεν. — πονηροῦ. Explicantur tamen ibid. in scholio. Patres Graeci de precibus apud Lucam fere silent, praeter Origenem, qui hic gnaviter rem suam gessit. Alienum est ab hoc loco, nugas illius excutere: notabo tamen, ubi singulos versus tractet. Vers. 1. T. I, 199. 200. 216. 227. vers. 1. 2, 222. vers. 2. seqq. 227. ubi comparat Matthaeum. 232. 240. c. vers. 3. 240. d. 243. c. 249. d. 251. e. II, 762. vers. 4. I, 252. a. 255. a. bis. 256. c. 265. a. vers. 5. 8. et 9. 213. Sed praestat legere totum libellum περὶ εὐχῆς. T. I. 196 — 272. Nihil insanius licet intelligi. Insunt vero etiam, quae risum moveant. Cavillationes eius ad evang. Lucae interciderunt, in quibus haud dubie illis similia olim lecta sunt.

ΛΘ. περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν.

ΡΚϚ. ι. καὶ [Ἀρχή.] ἦν ἐκβάλλων δαιμόνιον, καὶ 14. ΝΖ.
αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελ-
θόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν
οἱ ὄχλοι.

ΡΚΖ. β. τινὲς δὲ ἐξ αὐτῶν εἶπον· ἐν Βεελζεβοὺλ ἄρ- 15.
χοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

ΡΚΗ. ι. ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ 16.
ἐζήτουν ἐξ οὐρανοῦ.

ΡΚΘ. β. αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν 17.
αὐτοῖς· πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερι-
σθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει.
εἰ δὲ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς 18.
σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε,
ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια.
εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαι- 19.
μόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ
τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται.
εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμό- 20.
νια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ
Θεοῦ.

ὅταν

XI, 14. ΝΖ. τῇ ε. τῆς ς. ἑβδ. τ. κ. ἐ. ἦν ὁ Ἰησοῦς ἐκ-
βάλλων.

14. καὶ αὐτὸ ἦν] — E. v. P.
ἐξελθόντος] ἐκβληθέντος, E. v. P.

15. βεελζεβοὺλ] + τῷ. E.

19. ἐκβάλλουσι] ἐκβαλοῦσι. E. Vulgatum Orig. IV, 297.

20. καθωπλισμένος κ. τ. λ.] Ex Wetst. 69. Griesb. notat: καθωπλισμένος βλέπει (Forte scriba voluit βέλει.)

21. ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ
τὴν ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρ-
χοντα αὐτοῦ·

22. ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νική-
σῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ'
ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδί-
δωσιν.

ΝΗ. 23. [Ἀρχή.] ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι·
καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. [Τέ- Τέλος τῆς ς.
λος.]

24. ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ΡΛ. ς.
ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζη-
τοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει· ὑπο-
στρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον·

καὶ

XI, 23. ΝΗ. τῇ ς. τῆς ς. ἑβδ. ἀ. ὁ κ. ὁ μὴ ὢν.

βέλει.) τὴν ἑαυτοῦ αὐλὴν φυλάσσειν. Ad sterquilinia cum istis! — Bona verba, quaeso. Ad recensionem Alexandrinam pertinent.

22. σκῦλα] σκεύη. E. v. P.

23. σκορπίζει] + με. E. v. P. Cum Codex L. et 33., auctore Griesbachio, pertineant ad recensionem Alexandrinam, cupiebam cognoscere, quid exhiberet Cyrill. qui ipse etiam, *quod Alexandriae Episcopus fuit*, ad eandem recensionem ab eodem refertur. Is tamen III, 811. a. vulgatum habet. Etiam Origenes II, 844. — Scilicet distinguenda est recensio *semialexandrina* et *totalis*, item, ut comoedia, *vetus*, *media*, *nova*. — Intelligo.

24. δι' ἀνύδρων] διὰ τῶν ὕδρων. Cod. D. seu recensio occidentalis. Hoc est, *per serpentes*. Cur non adeo, διὰ τῶν χελύδρων;

καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμη- 25.
μένον.
τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ 26.
ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ
εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ
ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν
Τέλος τῆς σ. πρώτων. [Τέλος.]

Μ. περὶ τῆς ἀπὸ τοῦ ὄχλου ἐπαράσης φωνῆς.

ΡΛΑ. α. [Ἄρξου.] ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦ- 27.
Ἄρξου τῆς θεοτόκου. τα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου,
εἶπεν αὐτῷ· μακαρία ἡ κοιλία ἡ βαστάσασά
σε, καὶ μαστοὶ οὓς ἐθήλασας.
αὐτὸς δὲ εἶπε· μενοῦνγε μακάριοι οἱ ἀκούον- 28.
τες τὸν λόγον τοῦ θεοῦ καὶ φυλάσσοντες
Τέλος τῆς θεοτόκου. αὐτόν. [Τέλος.]

ΜΑ. περὶ τῶν αἰτούντων σημεῖον.

ΡΛΒ. α. [Ἀρχή.] τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξα- 29. ΝΘ.
το λέγειν· ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον
ἐπι-

XL. 29. ΝΘ. τῇ β. τῆς ζ. ἑβδ. [καὶ ἔν τισι, σεπτεμβρίου κβ. τοῦ ἁγίου προφήτου ἰωνᾶ.] τ. κ. ἑ. ἐπαθροιζομένων τῶν ὄχλων ἤρξατο λέγειν ὁ ἰησοῦς· ἡ γενεὰ αὕτη.

25. εὑρίσκει] + σχολάζοντα. Z. v. P.

26. εἰσελθόντα] ἐλθόντα. A. Ita poſtea etiam in quinque reperi: Birch in quatuor.

28. φυλάσσοντες αὐτὸν] αὐτὸν — E. v. P.

29. αὕτη] + γενεά. E. Alexandrini apud Wetſt. Sed Cyrill. I, a. 342. vulgatum. Attamen αἰτεῖ, loco ἐπιζητεῖ. Quin etiam addit Matth. 12, 40. uti Cod. D. ſed hic poſt verſ. 30.

ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ
μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ προφήτου.
30. καθὼς γὰρ ἐγένετο ἰωνᾶς σημεῖον τοῖς νι-
νευΐταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώ-
που τῇ γενεᾷ ταύτῃ.
31. βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει
μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ
κατακρινεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν πε-
ράτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολομῶ-
νος· καὶ ἰδοὺ, πλεῖον σολομῶνος ὧδε.
32. ἄνδρες νινευῒ ἀναστήσονται ἐν τῇ κρίσει μετὰ
τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν·
ὅτι μετενόησαν εἰς τὸ κήρυγμα ἰωνᾶ· καὶ ἰδοὺ,
πλεῖον ἰωνᾶ ὧδε.
33. οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, ΡΛΓ. β.
οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλὰ ἐπὶ τὴν λυχνίαν,
ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.
[Τέλος.] Τέλος τῆς β.

[Ἀρχή.]

τοῦ προφήτου] — E.
32. νινευῒ] νινευῖται. A.
33. κρυπτὴν] κρυπτόν. E. Habet quidem ita unus Cod. Euth. ſed eiusdem ſcholium repugnat. Mox uterque, ἡ ὑπό. κρυπτὴ de loco occulto et remoto habet Heraclides de civitatibus fol. 73. pag. edit. Rom. 1545. Lat. *crypta*. κρυπτὸν, τὸ, notius erat ex pluribus locis N. Teſt.
φέγγος] φῶς. E. v. P. Theophyl. Cod. Mosq. m. κρυπτὴν et φέγγος habet. Tamen Aug. 10. et 11. φῶς exhibent. Cyrill. I, a. 477. εἰς τὸ κρυπτὸν τίθ. ἀλλ' οὐδὲ ὑπὸ κλίνην ἤγουν μόδιον — ἵνα πάντες οἱ εἰσπορευόμενοι τὸ φῶς. Confuſio ex locis parallelis.

ΡΛΔ. ι. [Ἀρχή.] ὁ λύχνος τοῦ σώματός ἐςιν ὁ ὀφθαλ- 34. Ξ.
μός· ὅταν ὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,
καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐςιν· ἐπὰν
δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.
σκόπει ὖν, μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος 35.
ἐςίν.
ἐι ὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον 36.
τι μέρος σκοτινὸν, ἔςαι φωτεινὸν ὅλον, ὡς
ὅταν ὁ λύχνος τῇ ἀςραπῇ φωτίζῃ σε.

ΜΒ. περὶ τοῦ καλέσαντος Φαρισαίου τὸν Ἰησοῦν.

ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα ἀυτὸν Φαρισαῖός 37.
τις ὅπως ἀριςήσῃ παρ' ἀυτῷ. ἐισελθὼν δὲ
ἀνέπεσεν.
ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι ὀυ πρῶ- 38.
τον ἐβαπτίσθη πρὸ τοῦ ἀρίςου.
ΡΛΕ. ι. εἶπε δὲ ὁ κύριος πρὸς ἀυτόν· νῦν ὑμεῖς οἱ 39.
Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ
πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέ-
μει ἁρπαγῆς καὶ πονηρίας.
ἄφρονες, ὀυχὶ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ 40.
ἔσωθεν ἐποίησε;
πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ, 41.
Τέλος τῆς γ. πάντα καθαρὰ ὑμῖν ἐςιν. [Τέλος.]

ἀλλ'

XI, 34. Ξ. τῇ γ. τῆς ζ. ἑβδ. ἰ. ὁ κ. ὁ λύχνος.

34. σώματος] + σου. Ε.

ὀφθαλμὸς] + σου. Ε.

41. τὰ ἐνόντα] v. Euth. II, 448. 449.

ΞΑ. 42. ἀλλ' [Ἀρχή.] ὀυαὶ ὑμῖν τοῖς Φαρισαίοις, ΡΛΞ. ι.
ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ θεοῦ· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. [Τέλος.] Τέλος ἐν τισὶ τῆς γ.
43. ὀυαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν ΡΛΖ. β.
πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.
44. ὀυαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ΡΛΗ. ι.
ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι * περιπατοῦντες ἐπάνω ὀυκ οἴδασιν.

ἀπο-

XI, 42. ΞΑ. τῇ δ. τῆς ζ. ἑβδ. [καὶ ἐν ἄλλοις· δεκεμβρίου ιζ. τῶν ἁγίων τριῶν παίδων καὶ δανιὴλ τοῦ προφήτου.] ε. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ὀυαὶ ὑμῖν τοῖς.

42. ἀφιέναι] παρεῖναι. E. Supra 10, 41. et alibi ſuſpicatus ſum, ſcribas ſtultos quorundam Codd. Wetſtenii duo vocabula conflaſſe in unum. Hic rurſus manifeſtum eſt exemplum. Lectio proborum Codd. eſt ἀφιέναι, corruptorum παρεῖναι. Ergo ſcriba Cod. Wetſt. A. fabricavit παραφιέναι ex παρ (εἶναι et) ἀφιέναι. Atque ſic expreſſe reperio in edit. Woidii. παραφιέναι, quod *per ſe* probum eſt, iſti barbaro ignotum erat. Nec enim graece orthographice ſcribere didicerat. Id enim ſciunt omnes, qui iſtum Codicem tractarunt. Verſ. 41. 42. attingit Chryſ. VI, 204. VII, 519. 535. VIII, 482.

43. ἀγοραῖς] Codd. recenſ. Alex. et Occid. h. l. aſſuunt ex Marc. 12, 39. καὶ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις. Ergo ex hoc ipſo capite apparet, eosdem ſcribas infimos alia omittere, alia addere. Vide hic continuo verſ. 44.

44. γραμματεῖς — ὑποκριταὶ] — E. Verſum 44. 45. 46. laudat Cyrill. III, 763. c.

ἄνθρωποι οἱ] οἱ —

ΡΛΘ. ι. ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ· 45.
διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

ΜΓ. περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.

ὁ δὲ εἶπε· καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί. ὅτι 46.
φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστα-
κτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ
Τέλος τῆς δ. προσψαύετε τοῖς φορτίοις. [Τέλος.]
ΡΜ. γ. [Ἀρχή.] οὐαὶ ὑμῖν ὅτι οἰκοδομεῖτε τὰ μνη- 47. ΞΒ.
μεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν
ἀπέκτειναν αὐτούς·
ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις 48.
τῶν πατέρων ὑμῶν ὅτι αὐτοὶ μὲν ἀπέκτει-
ναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ
μνημεῖα.
ΡΜΑ. ι. διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν· ἀπο- 49.
στελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους,
καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν·

ἵνα

XI, 47. ΞΒ. τῇ ε. τῆς ζ. ἑβδ. καὶ εἰς προφήτας· ε. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· οὐαὶ ὑμῖν [γραμματεῦσι καὶ φαρισαίοις] ὅτι οἰκοδομεῖτε.

46. τοὺς ἀνθρώπους] τοῖς ἀνθρώποις. E. Cyrill. l. l. et προσψαύετε αὐτοῖς. Paullo negligentius laudat, ſive ex Matth. 23, 4. ſive ex Luc. ibid. 594. c.

47. μνημεῖα] μνήματα. Lucae tribuit Chryſ. VII, 714. e.

48. μαρτυρεῖτε] μάρτυρές ἐστε. E. Ita Orig. I, 443. c. καὶ συνευδοκεῖτε] ὅτι συνευδοκεῖτε t μὴ συνευδοκεῖν. E. Lucifer, inquit, Griesb. Immo, Furcifer. αὐτῶν τὰ μνημεῖα] τοὺς τάφους αὐτῶν t — E. Tot nugis in uno verſu redundant Alexandrino - Occidentaliſtae contra omnes Codd. graecos. Quid ex his probavit Griesb.? Nihil omnino. Recte! Quis enim ſanae mentis homo illos ſequatur? Vid. v. 1—4.

50. ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης,

51. ἀπὸ τοῦ αἵματος ἄβελ, ἕως τοῦ αἵματος ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. [Τέλος.] Τέλος ἔν τισι δεκεμβρίου ιζ.

52. οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. ΡΜΒ. ι.

53. λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, ΡΜΓ. ι.

ἐνεδρέ-

50. ἐκζητηθῇ] ἐκδικηθῇ. E. Explicatio proba.

52. εἰσήλθετε] ex Luc. non ex Matth. Cyrill. I, g. 391. d. ubi tamen vitiose εἰσέλθετε. Sed II, 367. a. εἰσέρχεσθε. Sine varietate hunc versum recitat Orig. I, 167. sed II, 526. εἰσέρχ. οὐκ ἀφίετε εἰσελθεῖν.

53. λέγοντος — αὐτοὺς] κἀκεῖθεν ἐξελθόντος αὐτοῦ (ἔλεγε ταῦτα πρὸς αὐτούς.) E. v. P.

πρὸς αὐτοὺς] + ἐνώπιον παντὸς τοῦ λαοῦ, (κατῃσχύνθησαν t κατῃσχύνοντο καὶ. E. Quis haec probavit? Nemo. Qui vero Codices ista assuunt? D. B. C. L. 33. Syr. Codd. Latini. Nulla harum corruptionum reperitur nec in iis, quos postea examinavi. Unus Mosq. 11. qui est cum scholiis, quod probe notandum est, addit: ἐνώπιον — κατῃσχύνοντο καὶ. Vid. v. 1 — 4.

ἐνέχειν] συνέχειν t ἐλέγχειν t ἔχειν t ἔχειν αὐτῷ t ἐνέχειν αὐτῷ t ἀνέχειν t ἐνέχειν καὶ — E. v. Euth. II, 453 — 455.

ἐνεδρεύοντες αὐτὸν, * ζητοῦντες θηρεῦσαί τι 54.
ἐκ τοῦ ϛόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν
αὐτοῦ.

ΜΔ. περὶ τῆς ζύμης τῶν Φαρισαίων.

ΡΜΔ. β. Ἐν δὶς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ XII, 1.
ὄχλου, ὥϛε καταπατεῖν ἀλλήλους, ἤρξατο
λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον·
Τέλος τῆς ε. καὶ ἔν τισι τῆς δ. προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φα-
ρισαίων, ἥτις ἐϛὶν ὑπόκρισις. [Τέλος.]
ΡΜΕ. ε. [Ἀρχή.] οὐδὲν δὲ συγκεκαλυμμένον ἐϛὶν, ὃ 2. ΞΓ.
οὐκ ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ
γνωσθήσεται.
ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ 3.
φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ οὖς ἐλα-
λήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ
τῶν δωμάτων.
λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· μὴ φοβηθῆ- 4.
τε ἀπὸ τῶν * ἀποκτενόντων τὸ σῶμα, καὶ
μετὰ

XII, 2. ΞΓ. τῇ ϛ. τῆς ζ. [ἐν ἄλλοις· τῇ ε.] ἑβδ. καὶ τῇ κε. ὀκτωβρίου, τῶν ἁγίων νοταρίων, μαρκιανοῦ καὶ μαρτυρίου. ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· οὐδὲν συγκεκαλυμμένον.

ἀποϛοματίζειν αὐτὸν] ἀποϛομίζειν αὐτὸν t ἐπιϛομίζειν αὐτὸν t ἀπομαϛίζειν αὐτὸν t συμβάλλειν αὐτῷ. E. v. P. ἀποϛοματίζειν αὐτὸν omnes, quos postea vidi. Interpretor: *subitis varii generis interrogationibus urgere aliquem.*

54. καὶ ζητοῦντες] καὶ —

XII, 1. αὐτοῦ. πρῶτον προσέχετε] αὐτοῦ πρῶτον· προσέχετε.

4. ἀποκτεινόντων] ἀποκτενόντων. Lucam, non Matth. respicit Orig. IV, 3a1, a. Ex eo ergo saltem περισσό-

μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι
ποιῆσαι.
5. ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβήθητε
τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα
ἐμβαλεῖν εἰς τὴν γέενναν· καὶ λέγω ὑμῖν,
τοῦτον φοβήθητε.
6. οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο,
καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον
τοῦ θεοῦ;
7. ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶ-
σαι ἠρίθμηνται. μὴ οὖν φοβεῖσθε· πολλῶν
στρουθίων διαφέρετε. [Τέλος.] Τέλος ἐν τισὶ
ΞΔ. 8. λέγω δὲ ὑμῖν· [Ἀρχή.] πᾶς ὃς ἂν ὁμολογή- τῆς ι. καὶ
σῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ τῶν μαρτύ-
υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμ- ρων.
προσθεν τῶν ἀγγέλων τοῦ θεοῦ.

XII, 8. ΞΔ. τῇ ς. νοεμβρίου, τοῦ ἁγίου παύλου τοῦ ὁμο-
λογητοῦ, καὶ τῇ ι. νοεμβρ. εἰς τοὺς ἁγίους ὁμολο-
γητάς· εἶπ̓ ὁ κ̄ς τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς δὲ ἄν.

ρισσότερον notendum. Longiorem locum nominatim laudat I, 296. c. ταῦτα δὲ λέγω — ἀποκτεινόντων — 5. φοβηθῆτε τὸν — εἰς γέενναν — φοβηθῆτε — 6. δύο ἀσσ. πωλ. — 7. ἠρίθμηνται (Sic) — φοβηθῆτε ad fin. vers. 9. Repetit quaedam ibid. et 297. ex Luca, non ex Matth. Ἀποκτεινόντων ab editoribus ibi videtur provenisse. Postremo respicit etiam Matth. 10, 28.

περισσότερον] περισσόν E.

7. ἠρίθμηνται] ἠριθμημέναι εἰσι. E. ex Matth. Sic et Chrys. VII. 337. v. ibid. V, 415.

πολλῶν] πολλῷ. E. πόσων et in fine ὑμεῖς Chrys. VII, 562. c. nisi Matthaeum respexerit.

διαφέρετε] + ὑμεῖς. D.

ΡΜϚ. β. ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, 9.
ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ
θεοῦ.

ΡΜΖ. β. καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀν- 10.
θρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ
ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθή-
σεται.

ΡΜΗ. β. ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγω- 11.
γὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ
μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί
εἴπητε·

τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ 12.
Τέλος τῶν β. τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. [Τέλος.]

ΜΕ. περὶ τοῦ θέλοντος μερίσασθαι τὴν
κληρονομίαν.

ΡΜΘ. ι. [Ἀρχή.] εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου 13. ΞΕ.
διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι
μετ᾽ ἐμοῦ τὴν κληρονομίαν.

ὁ δὲ εἶπεν αὐτῷ· ἄνθρωπε, τίς με κατέστησε 14.
δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς;

εἶπε

XII, 13. ΞΕ. τῇ β. τῆς η. ἑβδ. τ. κ. ἐ. διδάσκοντος τοῦ ἰησοῦ εἰπέ τις αὐτῷ.

9. ἐνώπιον prius] ἔμπροσθεν. E.

11. προσφέρωσιν] εἰσφέρωσιν t φέρωσιν t προσφέρουσιν. E. Cum minus usitatum esset ita dicere, graeci scribae et interpretes id mutarunt. Sic mox ab aliis correctum εἰς loco ἐπί. Orig. I, 296. nominatim, sed ἐπὶ -- μεριμνήσητε, πῶς ἀπολογήσασθε.

ἢ τί.] — E.

12. ἐν αὐτῇ τῇ ὥρᾳ] — E. Orig. l. l. nominatim.

14. δικαστὴν] κριτήν. E.

15. εἶπε δὲ πρὸς αὐτούς· ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ * αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ. [Ὑπέρβα.] Ὑπέρβα τῆς β.

ΜΣ. περὶ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου·

16. εἶπε δὲ παραβολὴν πρὸς αὐτούς, λέγων·
ΞΣ. [Ἀρχή.] ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα·

17. καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;

18. καὶ εἶπε· τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ * γενήματά μου, καὶ τὰ ἀγαθά μου·

καὶ

XII, 16. ΞΣ. κυριακῇ θ. . . . τὴν παραβολὴν ταύτην· ἀνθρώπου τινός.

15. ἀπὸ τῆς] ἀπὸ πάσης. D. πάσης posteaquam tantum inveni Theophyl. Aug. 10. Alter Theophyl. 11. vulgatum habet.

ζωὴ αὐτοῦ] ζωὴ αὐτῷ. v. Euth. II, 460. Birch.

ὑπαρχόντων αὐτοῦ] ὑπαρχόντων αὐτῷ. E.

17. ὅτι οὐκ — 18. τοῦτο ποιήσω] — E. Cyrill. V, b. 321. c. III, 860. c. etiam Damasc. II, 484.

18. μείζονας οἰκοδ.] ποιήσω αὐτὰς μείζονας E. Vulgatum Orig. III, 230. et Cyrill. l. l. et ibid. 583. et III, 860.

καὶ συνάξω — ἀγαθά μου] — E. Orig. l. l. mox, ἔχεις ἀγαθὰ κείμενα εἰς, servato ἀναπαύου. Vide ibid. et III, 229. 230. 297. IV, 294. Cyrill. l. l. et mox, ἔχεις ἀγ. κείμενα, omisso etiam ἀναπαύου. Secundo III, 860. absunt καὶ συνάξω — ἀγαθ. μου, omisso etiam priore πολλὰ et ἀναπαύου. Hoc

καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ 19.
ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου,
φάγε, πίε, εὐφραίνου.
εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ τῇ νυκτὶ 20.
τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ
ἡτοίμασας, τίνι ἔσται;
οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν 21.
πλουτῶν. [Τέλος.]

Τέλος τῆς κυριακῆς. πρόσκειται δὲ τό ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

πολλὰ legitur tamen in ſchol. Cyrill. quod in prima edit. exhibui. In eo autem corrigendum χοι-ρεῦσι, quod facile quivis intelligit.

τὰ γεννήματα] τὸν σῖτον. E. τὰ γενήματα.

19. κείμενα] ἀποκείμενα. E. Elegantius.

20. ἄφρον] ἄφρων aliqui Codd. et editt item Cyrill. I, 1. et 385. ſed ἄφρον III, 866. et Orig. III, 229. 297. Idem ex hoc loco IV, 297. d. 298. a. coll. 261. d. philoſophatur de animis naſcentium et morientium. In his ingenioſiſſimum eſt, quod ex Io. 8, 22. et 10, 18. colligit, *Ieſum ſemet ipſum divina quodam modo interfeciſſe.* τάχα θειότερον Ἰησοῦς αὐτὸν ἀπέκτεινεν. Ins Tollhaus! Si ſaltem dixiſſet, ἑαυτὸν ἐξήγαγε τοῦ ζῆν, quod tamen paullo honeſtius fuiſſet.

ταύτῃ] ἐν ταύτῃ. E. Cyrill. I. l. σήμερον, loco ταύτῃ τῇ νυκτὶ Chryſ. VII, 336. e. vide etiam III, 391. νυκτὶ] + οἱ ἄγγελοι. E. Cyrill. V, b. 383. Unde angeli huc venerint, intelligitur ex mea de Orig. admonitione ad verſ. 20. edit. prioris.

21. πλουτῶν] + ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. E. v. Pf. ad verſ. 15. 20. 21. et 48. Iſta h. l. addunt etiam Evangeliſtaria Aug. fol. 296. et Goth. fol. 97.

22. [Ἄρξου.] εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· ΡΝ. ε, Ἄρξου τῆς
ΞΖ. [Ἀρχή.] διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε β. ἄλλοι δὲ
τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώμα- μετὰ τὸ, μα-
τι, τί ἐνδύσησθε. θητὰς αὐ-
23. ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶ- τοῦ, καὶ ἄλ-
μα, τοῦ ἐνδύματος. λοι, μετὰ
τὸ λέγω, ἄρχονται.
24. κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρου-
σιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον,
οὐδὲ ἀποθήκη, καὶ ὁ θεὸς τρέφει αὐτούς.
πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετει-
νῶν;
25. τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι
ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;
26. εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν
λοιπῶν μεριμνᾶτε;
27. κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κο-
πιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ σολο-
μῶν

XII, 22. ΞΖ. τῇ ς. τῆς ζ. ἑβδ. ἐν τισιν· ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε.

22. ψυχῇ ὑμῶν] ὑμῶν — E.
φάγητε] φάγετε. E.
σώματι] + ὑμῶν E.
ἐνδύσησθε] ἐνδύσεσθε. E.

23. ἡ ψυχὴ] ἡ γὰρ ψυχὴ t οὐχὶ ἡ ψυχή. E.
πλεῖον] πλείων. D.

24. κατανο. — θερίζ.] Orig. I, 711. d.

27. αὐξάνει — νήθει] οὔτε νήθει, οὔτε ὑφαίνει. E. v. P. Clem. Alex. p. 198. brevi ante dixerat, περὶ ἐσθῆτος παρεγγυᾷ. Ergo facile delabebatur ad lectionem ὑφαίνει, quae per se ingeniosa et elegans cuivis graece docto in mentem venire poterat.
δὲ ὑμῖν] + ὅτι. E.

μῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο
ὡς ἓν τούτων.
εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, 28.
καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς
οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλι-
γόπιστοι;
καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε· 29.
καὶ μὴ μετεωρίζεσθε.
ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπι- 30.
ζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε
τούτων.
Τέλος τῆς β. πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ 31.
καὶ ἐν τισι τῆς ϛ. ταῦτα πάντα προστεθήσεται ὑμῖν. [Τέλος.]
ΡΝΑ. ι. [Ἀρχὴ] μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι 32. ΞΖ.
εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βα-
σιλείαν.
ΡΝΒ. β. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε 33.
ΡΝΓ. ε. ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλάντια μὴ
πα-

XII, 32. ΞΖ. σαββάτῳ ια. καὶ ὀκτωβρίου κδ. ἐ. ὁ κ. μὴ φοβοῦ.

28 ἐν τῷ ἀγρῷ σήμερον] σήμερον ἐν τῷ ἀγρῷ, E. concinnius.

ἀμφιέννυσι] ἀμφιάζει, E. Habet hoc Alciphr. p. 366

30. τοῦ κόσμου] — E.

31. πάντα] — E:

32. ὅτι εὐδόκησεν] ηὐδόκησε γάρ. E. Cyrill. IV, 648. ibid. deest ὑμῶν.

33. ἐλεημοσύνην] + καὶ ἰδοὺ πάντα ἴνοδα ὑμῖν ἔσται. E. Cyrill. I, a. 272.

βαλάντια] βαλλάντια. Et hic et alibi divortium faciunt Codd.

παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

34. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

35. ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ ΡΝΔ. ι.
οἱ λύχνοι καιόμενοι·

36. καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ·

37. μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύ- ΡΝΕ. ι.
ριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

38. καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

39. τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπό- ΡΝΣ. β.
της ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ.

40. καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. [Τέ- Τέλος τοῦ σαββάτου.
λος.]

εἶπε

35. περιεζωσμέναι] + καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν. E. Cyrill. I, a. 108. Latinistae etiam manus addiderunt. Orig. II, 816. nihil mutat.

36. ἀναλύσει] ἀναλύσῃ. E.

38. v. P.

ἔλθῃ καὶ] ἔλθῃ — ι καὶ ἐλθών. E.

εἶπε δὲ αὐτῷ ὁ πέτρος, κύριε, πρὸς ἡμᾶς 41.
τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς
πάντας;
ΡΝΖ. ι. [Ἀρχή] εἶπε δὲ ὁ κύριος· τίς ἄρα ἐςὶν ὁ 42. ΞΗ.
πιςὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταςήσει
ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδό-
ναι ἐν καιρῷ τὸ σιτομέτριον;
μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύ- 43.
ριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.
ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρ- 44.
χουσιν αὐτοῦ καταςήσει αὐτόν.
ΡΝΗ. ι. ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ 45.
αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ
ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παι-
δίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύ-
σκεσθαι·
ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ 46.
οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ
διχο-

XII, 42. ΞΗ. τῇ γ. [ἐν ἄλλοις τῇ β.] τῆς η. ἑβδ. ἑ. ὁ κ. τίς ἄρα.

42. οἰκονόμος] δοῦλος. E, Cyrill. I, g. 233. mox, κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ τοῦ δοῦναι. Orig. III, 189. κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ διδόναι — σιτομέτ. τοῖς δούλοις αὐτοῦ. v. P,

θεραπείας] οἰκετίας t οἰκίας. E. Eaedem corruptiones funt Matth. 25, 45.

43. μακάριος] ἀμὴν λέγω ὑμῖν· μακάριος. E. Cyrill. l. l. et mox, οὕτω ποιοῦντα.

44. ἀληθῶς λ. ὑμ.] ἀμὴν λέγω ὑμῖν, E. Cyrill. l. l.

45. Orig. III, 189. nec cum Luc. nec cum Matth. 24, 48. fatis convenit.

διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ με-
τὰ τῶν ἀπίστων θήσει.
47. ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ ΡΝΘ. α.
κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποι-
ήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται
πολλάς.
48. ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν,
ΞΘ. δαρήσεται ὀλίγας. [Ἀρχή.] παντὶ δὲ ᾧ
ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ
καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτή-
σουσιν αὐτόν. [Τέλος.] Τέλος τῆς γ.
49. πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω ΡΞ. α.
εἰ ἤδη ἀνήφθη;

βα-

XII, 48. ΞΘ. τῇ δ. τῆς η. ἑβδ. ἐ. ὁ κ. παντὶ ᾧ ἐδόθη πολύ.

47. ἑαυτοῦ] αὐτοῦ. Cyrill. IV, 481. ὁ γὰρ εἰδὼς τὸ — αὐτοῦ καὶ μὴ ποιήσας αὐτὸ, δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας. 636. ὁ εἰδὼς τὸ — αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. 728. ὁ μὴ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας δαρήσεται ὀλίγας. Variat etiam Chryſ. VII, 322. 730. VIII, 502. V, 42. II, 311. et Orig. III, 233. 338. v. Euth. 174.

48. παρέθ. πολὺ κ. τ. λ.] πολὺ παρέθεντο, πολὺ ζητήσουσιν ἀπ' αὐτοῦ. Cyrill. I, a. 122. Sic, ſed παρ' αὐτοῦ. 571.

αἰτήσουσιν αὐτὸν] ἀπαιτήσουσιν αὐτόν. E.

49. εἰς] ἐπί. D. In nullo id poſtea inveni. Sed ita Chryſ, VII, 49. V, 167. Cyrill. I, g. 323. III, 852. IV, 193. 250. V, b. 23. Non miror, graecis magis placuiſſe ἐπί.

καὶ τί θέλω] De Chryſ. v. P. Vulgatum tamen habet Chryſ. II, 317. τί. abeſt, Orig. I, 299. βαλεῖν

ἐπὶ

βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς 50.
συνέχομαι ἕως οὗ τελεσθῇ;
δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ 51.
γῇ; οὐχὶ, λέγω ὑμῖν, ἀλλ᾽ ἢ διαμερισμόν.
ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ 52.
διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ
τρισί.
διαμερισθήσεται πατὴρ * ἐπὶ υἱῷ, καὶ υἱὸς 53.
ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγά-
τηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην
αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.
ΤΚΛ. ι. ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· ὅταν ἴδητε τὴν νε- 54.
φέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως
λέγετε· ὄμβρος ἔρχεται· καὶ γίνεται οὕτω.
καὶ ὅταν νότον πνέοντα, λέγετε· ὅτι καύσων 55.
ἔσται· καὶ γίνεται.

ὑπο-

ἐπὶ τὴν γῆν καὶ εἴθε δὲ ἐκάη. II, 117. καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη. 610. ἐπὶ τὴν γῆν. 636. 721. 846. III, 274.

50. οὗ] ὅτου. E. Elegantius. Orig. I, 293. καὶ τί συνέχομαι, ἕως ὅτου τελεσθῇ. IV, 143. βαπτίσματι δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι, ἕως ὅτου τελεσθῇ. 156. βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ.

52. ἐνὶ] — E. Cyrill. III, 460.

53. ἐφ᾽ υἱῷ] ἐπὶ υἱῷ.
μήτηρ] καὶ μήτηρ. E. Cyrill. l. l. et mox, ἐπὶ τὴν μητέρα — νύμφην ἑαυτῆς, omiſſo ultimo αὐτῆς. Sed verſu 51. nihil mutat.

55. πνέοντα] πλέοντα. Wetſt. D. ſolus, quod ſilentio tranſiit Griesb.

56. ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ
οὐρανοῦ οἴδατε δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦ-
τον πῶς οὐ δοκιμάζετε;

57. τί δὲ καὶ ἀφ᾽ ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

58. ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ΡΞΒ. κ.
ἐπ᾽ ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλ-
λάχθαι ἀπ᾽ αὐτοῦ· μήποτε κατασύρῃ σε
πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ
τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε * βάλλῃ
εἰς φυλακήν.

59. λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ καὶ
τὸ ἔσχατον λεπτὸν ἀποδῷς. [Τέλος.] Τέλος τῆς δ. καὶ ἐν τισι τῆς β.

ΜΖ. περὶ τῶν γαλιλαίων καὶ τῶν ἐν τῷ σιλωάμ.

Ο. XIII, 1. [Ἀρχή.] Παρῆσαν δέ τινες ἐν τῷ καιρῷ ΡΞΓ. ι.
ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν γαλιλαίων,
ὧν τὸ αἷμα πιλάτος ἔμιξε μετὰ τῶν θυ-
σιῶν αὐτῶν.

Ο. 2. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς· [Ἀρχή.]
δοκεῖτε ὅτι οἱ γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ

παρὰ

XIII, 1. Ο. τῇ ε. τῆς η. ἑβδ. καὶ εἰς ἐπιδρομὴν ἐθνῶν· τ. κ. ε. παρῆσάν τινες ἀπαγγέλλοντες τῷ ἰησοῦ περί. [ἐν ἄλλῳ· τ. κ. ε. ἦλθόν τινες ἀπαγγέλλοντες τῷ ἰησοῦ περί. ἐν ἄλλῳ ε. ὁ κ. ὅτι οἱ γαλιλαῖοι οὗτοι]

XIII, 2. Ο. τῇ γ. τῆς η. ἑβδ. ε. ὁ κ. δοκεῖτε ὅτι οἱ γαλιλαῖοι οὗτοι.

56. τῆς γῆς καὶ τοῦ οὐρανοῦ] τοῦ οὐρανοῦ καὶ τῆς γῆς. D.

58. βάλλῃ] βάλῃ.

59. τὸ ἔσχατον] τὸν ἔσχατον. E. Sed alibi Lucas habet δύο λεπτά. Ergo neutrum. κοδράντην in mente habuerunt, quod est apud Matth. uti notat Euth. I, 185.

παρὰ πάντας τοὺς γαλιλαίους ἐγένοντο, ὅτι
τοιαῦτα πεπόνθασιν;
ὀυχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, 3.
πάντες ὡσαύτως ἀπολεῖσθε.
ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' ὃυς ἔπεσεν 4.
ὁ πύργος ἐν τῷ σιλωὰμ, καὶ ἀπέκτεινεν αὐ-
τοὺς, δοκεῖτε ὅτι ὅυτοι ὀφειλέται ἐγένοντο
παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας
ἐν ἱερουσαλήμ;
ὀυχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, 5.
πάντες ὁμοίως ἀπολεῖσθε.
ΤΙΔ. ι. ἔλεγε δὲ ταύτην τὴν παραβολήν· συκῆν εἶχέ 6.
τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην· καὶ
ἦλθε * ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ ὀυχ εὗρεν.
εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· ἰδοὺ, τρία ἔτη 7.
ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ,
καὶ

XIII, 3. et 5. v. P.

4. ἀνθρώπους] — t τοὺς ἀνθρώπους. E.
ἐν] — E.

5. μετανοῆτε] μετανοήσητε. E. v. P. Euth. 174. Cur hic Chryfoftomus neglectus VIII, 808. d.? Idem eundem locum faepius habet.
πάντες ὁμοίως] πάντως ὡσαύτως. E.

6. ἐν τῷ — πεφυτ.] πεφυτ. ἐν τῷ ἀμπ. αὐτοῦ. E. Ordo aptior. Igitur fic non folum Elias Cretenfis, fed et Cyrill. III, 574. 660. fed, ἐν τῷ ἀγρῷ αὐτοῦ. v. Wetft.
καρπὸν ζητῶν] ζητῶν καρπόν.

7. ἀμπελουργὸν] Cyrill. III, 660. γηπόνον. Eundem IV, 867. γηπονοῦντα vocat.
ἰδοὺ κ. τ. λ.] Orig. III, 246. ἤδη τρία — ἔρχ. ἐπὶ τὴν συκὴν καὶ καρπὸν οὐχ εὑρίσκω, ἔκκοψον — καὶ γῆν.
ἔτη] + ἀφ' οὗ t ἀφ' ἧς. E. v. P.

καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἵνατί καὶ
τὴν γῆν καταργεῖ;
8. ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ, κύριε, ἄφες
αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω
περὶ αὐτὴν, καὶ βάλω * κόπρια·
9. κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ ΡΞΕ. β.
μέλλον ἐκκόψεις αὐτήν. [Τέλος.] Τέλος τῆς ε.
ΟΛ. 10. [Ἀρχή.] ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγω- καὶ ἐν τισι
γῶν ἐν τοῖς σάββασι. τῆς γ. πρόσκειται δὲ ἐν
ΜΗ. περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας. τισι· ταῦτα λέγων ἐφώ-
11. καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας νει.
ἔτη δέκα καὶ ὀκτώ· καὶ ἦν συγκύπτουσα,
καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές.

ἰδὼν

XIII, 10. ΟΛ. κυριακῇ ι. τ. κ. ἰ. ἦν διδάσκων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν.

εὑρίσκω] + φέρε τὴν ἀξίνην. E. Aufer potius securim tuam, scriba Cod. Wetst. D. Novimus enim, te esse ὑλοτόμον ἐξ ὑλοτόμου πατρός. Aufer quoque ex versu 8. κόφινον κοπρίων. Foetet enim.

8. κοπρίαν] κόπρια Cyrill. l. l. v. Euth. II, 490. Scriba Cod. D. κόφινον κοπρίων.

9. καρπὸν] + εἰς τὸ μέλλον. E. Cyrill. l. l. mox omisso, εἰς τὸ μέλλον. Appendicem ταῦτα λέγων, habet etiam Aug. Evang. Gothanum ista lectione caret.

11. ἦν — ἀσθενείας] ἦν ἐν ἀσθενείᾳ ἦν πνεύματος. Ita scriba Cod. D. ὃς ἦν ἐν ἀσθενείᾳ τοῦ ἐγκεφάλου. Mox idem, συγκάμπτουσα, vel potius συγκάπτουσα. Sed συγκάμπτουσα requirit substantivum, velut τὸν νῶτον. Dicitur enim μεταβατικῶς. Plato Phaed. §. 3. ξυγκάμψας τὸ σκέλος. Illi homines appellantur κυφώτεις. συγκύπτουσα Orig. I, 780.

ἰδὼν δὲ αὐτὴν ὁ ἰησοῦς, προσεφώνησε, καὶ 12.
εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας
σου.

καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παρα- 13.
χρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν θεόν.

ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν 14.
ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ ἰησοῦς,
ἔλεγε τῷ ὄχλῳ· ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ
ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θερα-
πεύεσθαι, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.

ἀπεκρίθη οὖν αὐτῷ ὁ κύριος, καὶ εἶπεν· * ὑπο- 15.
κριτὰ, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει
τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης,
καὶ ἀπαγαγὼν ποτίζει;

ταύτην δὲ, θυγατέρα ἀβραὰμ οὖσαν, ἣν 16.
ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη,
οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ
ἡμέρᾳ τοῦ σαββάτου;

ΡΖΕ. ι. καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο 17.
πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχ-
λος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινο-
μένοις ὑπ' αὐτοῦ. [Τέλος.]

Τέλος τῆς κυριακῆς.

ΜΘ. περὶ τῶν παραβολῶν.

ΡΖΖ. β. ἔλεγε δὲ· τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ; 18.
καὶ τίνι ὁμοιώσω αὐτήν;

[Ἀρχή.]

15. ὑποκριτὰ] ὑποκριταί. A. pluralis ὑμῶν poterat esse etiam post ὑποκριτά. Sed illud nominatim ad archisynagogum dictum, nimis durum videbatur.

16. τούτου] + in E. Orig. I, 982.

OB. 19. [Ἀρχή.] ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λα-
βὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ καὶ
ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς
κλάδοις αὐτοῦ.

20. * πάλιν εἶπε· τίνι ὁμοιώσω τὴν βασιλείαν ΡΖΗ. ε.
τοῦ θεοῦ;

21. ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν
εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη
ὅλον.

OB. 22. [Ἀρχή. Ἄρξου.] καὶ διεπορεύετο κατὰ πό- ΡΖΘ. β.
λεις καὶ κώμας διδάσκων καὶ πορείαν ποι- Ἄρξου τοῦ μανδυλίου.
ούμενος εἰς Ἱερουσαλήμ. [Τέλος.] Τέλος τοῦ μανδυλίου.

N. περὶ τοῦ ἐπερωτήσαντος, εἰ ὀλίγοι οἱ σωζόμενοι;

23. εἶπε δέ τις αὐτῷ, κύριε, εἰ ὀλίγοι οἱ σωζόμε- ΡΟ. ε.
νοι; ὁ δὲ εἶπε πρὸς αὐτούς·

24. ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης·
ὅτι πολλοὶ, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν,
καὶ οὐκ ἰσχύσουσιν.

ἀφ'

XIII, 19. OB. σαββάτῳ ιβ. τὸ αὐτὸ καὶ τῷ πρὸ τῆς χριστοῦ γεννήσεως σαββάτῳ. ε. ὁ κ. [τὴν παραβολὴν ταύτην] ὁμοία ἐστὶν [ὡμοιώθη] ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ.

XIII, 22. OB. ἐν ἑνὶ καὶ τοῦτο τὸ ἀνάγνωσμα εὗρον. τ. χ. ε. ἐπορεύετο ὁ Ἰησοῦς κατά. Τέλος ἐν ὀνόματι κυρίου. κεφ. ρσι.

19. Evangeliaria Aug. et Goth. plane ita habent, ut in priore editione ex Cod. 17. notaveram.

20. καὶ πάλιν] καὶ —

21. ἐνέκρυψεν] ἔκρυψεν. A. Similis varietas Matth. 13, 33. In tanto Codd. dissensu nihil licet definire.

24. πύλης] θύρας. E. v. P. Vulgatam Orig. II, 387. Ergo optionem dat.

ΡΟΑ. ι. ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀπο- 25.
κλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι,
καὶ κρούειν τὴν θύραν, λέγοντες· κύριε, κύριε,
ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, οὐκ
οἶδα ὑμᾶς πόθεν ἐστέ.

τότε ἄρξεσθε λέγειν· ἐφάγομεν ἐνώπιόν σου 26.
καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν
ἐδίδαξας·

καὶ ἐρεῖ· λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν 27.
ἐστέ· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται
τῆς ἀδικίας.

ΡΟΒ. ι. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν 28.
ὀδόντων, ὅταν ὄψησθε ἀβραὰμ καὶ ἰσαὰκ
καὶ ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν
τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομέ-
νους ἔξω.

καὶ

25. ἐγερθῇ] ἔλθῃ t εἰσέλθῃ. E. Eſt hoc ex illis vocabulis, quae ſemper vexant ſcribae leves et perfidi, ut ſupra monui. Ex meis hic nullus variat, nec ex iis, quos poſtea adhibui. Cyrill. I, a. 538. ita miscet verſ. 25. et 27. πορεύεσθε ἀπ' ἐμοῦ ἐργάται ἀνομίας, οὐκ οἶδα ὑμᾶς, I, g. 337. ſic. ſed ἀπόστητε. ἀνομία eſt ex Matth.

26. ἄρξεσθε] ἄρξησθε. D. Ita plures Codd. Ac ſi pendens ſit oratio. Forte ex verſ. 25. Hunc verſum cum Matth. 7, 22. miscet Orig. IV, 421. coll. 425. et I, 423. 158. Ergo ex hoc loco ibi infert: οὐκ ἐν τῷ ὀνόματί σου ἐφάγομεν, καὶ τῷ ὀνόματί σου ἐπίομεν. Praeclare!

27. Huc referunt Orig. III, 131. οὐκ οἶδα ὑμᾶς, ὅτι ἐργάται ἐστὲ ἀνομίας. Sed potius ad Matth. 7, 23. referendum, quod iterum ita laudat I, 423.

29. καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ
* βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ Τέ.
βασιλείᾳ τοῦ θεοῦ. [Τέλος.] σα
30. καὶ ἰδοὺ, εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, ιβ. ΡΟΓ.
καί εἰσι πρῶτοι οἳ ἔσονται ἔσχατοι. [Τέλος.] Τέλος

ΝΑ. περὶ τῶν εἰπόντων τῷ ἰησοῦ διὰ ἡρώδην. σαββά

ΟΓ. 31. ἐν αὐτῇ τῇ ἡμέρᾳ ['Αρχή.] προσῆλθόν τινες ΡΟΔ. ι.
Φαρισαῖοι, λέγοντες αὐτῷ· ἔξελθε καὶ πο-
ρεύου ἐντεῦθεν· ὅτι ἡρώδης θέλει σε ἀπο-
κτεῖναι.
32. καὶ εἶπεν αὐτοῖς· πορευθέντες, εἴπατε τῇ
ἀλώπεκι ταύτῃ· ἰδοὺ, ἐκβάλλω δαιμόνια,
καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ
τῇ τρίτῃ τελειοῦμαι.
33. πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχο-
μένῃ πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφή-
την ἀπολέσθαι ἔξω ἱερουσαλήμ.
34. ἱερουσαλὴμ, ἱερουσαλὴμ, ἡ * ἀποκτένουσα ΡΟΕ. ε.
τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπε-
σταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα
ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις
τὴν

XIII, 31. ΟΓ, τῇ ς. [ἐν ἄλλοις, τῇ δ.] τῆς κ. ἑβδ. ['Εν ἄλλῳ· ὀκτωβρίου ιζ. τοῦ ἁγίου προφήτου ὠσηέ.] τ. κ. ἰ. προσῆλθόν τινες Φαρισαῖοι [τῷ ἰησοῦ] λέγοντες [αὐτῷ] [τοῦ ἰησοῦ] ἔξελθε.

29. ἀπὸ βορρᾶ] ἀπὸ —

31. ἡμέρᾳ] ὥρᾳ. E.

33. οὐκ — ἱερουσ.] Attingit Orig. III, 538.

34. ἀποκτείνουσα] ἀποκτένουσα. ἐπισυνάξαι] ἐπισυναγαγεῖν. E. Chryf. VIII, 312. XI, 18. Laudat etiam II, 305. XII, 27.

τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ
ὀυκ ἠθελήσατε;
ἰδοὺ, ἀφίεται ὑμῖν ὁ ὄικος ὑμῶν· * λέγω δὲ 35.
ὑμῖν, ὅτι ὀυ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε
ἔιπητε, ἐυλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
Τέλος της ϛ. κυρίου. [Τέλος.]
ΡΟΞ. ι. Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν [Ἀρχή.] ἐις XIV, 1.
ὄικόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων ΟΔ.
Ὑπέρβα εις σαββάτῳ Φαγεῖν ἄρτον, [Ὑπέρβα.] καὶ
τὸ της β. αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

ΝΒ. περὶ τοῦ ὑδρωπικοῦ.

καὶ ἰδοὺ, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπρο- 2.
σθεν αὐτοῦ.
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς ἔιπε πρὸς τοὺς νο- 3.
μικοὺς καὶ Φαρισαίους, λέγων· ἐι ἔξεστι τῷ
σαββάτῳ θεραπέυειν; όι δὲ ἡσύχασαν.
καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέ- 4.
λυσε.
ΡΟΖ. β. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, ἔιπε· τίνος 5.
ὑμῶν * υἱὸς ἢ βοῦς ἐις Φρέαρ ἐμπεσεῖται,
καὶ

XIV, 1. ΟΔ. σαββάτῳ ιγ. τ. κ. ἰ. ἐισῆλθεν [ἦλθεν.] ὁ ἰησοῦς ἐις ὄικόν τινος. [Ἔν τισι, τῇ β. τῆς θ. ἑβδ.]

35. ἔρημος] —
ἀμὴν δὲ λέγω] λέγω δέ.

XIV, 1. ἐλθεῖν] ἐισελθεῖν. E. v. P.

3. λέγων· ἐι] ἐι — E. v. P.
θεραπέυειν] θεραπεῦσαι ἢ ὀυ. E. v. P.

5. ὄνος] πρόβατον. E. Weſt. D. ſolus. t. υἱός. v. P. Teſtimonio Theophylacti in tanto Codd. conſenſu non

καὶ ουκ ευθέως ἀνασπάσει αυτὸν ἐν τῇ ἡμέρα τοῦ σαββάτου;

6\. καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

ΝΓ. περὶ τοῦ μὴ ἀγαπᾶν τὰς πρωτοκλισίας.

7\. ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ΡΟΗ. ι.
ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο,
λέγων πρὸς αὐτούς·

8\. ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν· μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ,

9\. καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.

ἀλλ᾽

non est opus. Tamen ita habet in textu et in scholio, idque etiam urget p. 433. b. Quam fortunam iam habebit *asinus* Latinistarum? Recensionem Alexandrinam et occidentalem dorso baiulans reportabit domum, iuxta oberrante ove solitaria scribae Cod. D.

ἐμπεσεῖτε] πεσεῖται. E.

7\. ἐπέχων] v. Euth. II, 506. Miror, a nemine correctum esse προσέχων.

ἐξελέγοντο] ἐπελέγοντο. E. Eleganter quidem. v. P.

8\. ὑπό τινος] Ex Clem. Alex. p. 141. notant, ista omitti. Cur vero non notarunt ex eodem κατάκεισο, loco κατακλιθῇς; Plura autem ibi ex hoc capite laudantur.

ᾖ κεκλ. ὑπ᾽ αὐτοῦ] ἥξει Cod. Wetst. D. Debebat saltem esse ἥξῃ. Idem mox ἴσῃ loco ἄρξῃ, contra testimonia omnium. Plures scurriles lectiones eius hic consulto praetermisi.

ἀλλ' ὅταν κληθῇς, πορευθεὶς * ἀνάπεσε εἰς 10.
τὸν ἔσχατον τόπον· ἵνα ὅταν ἔλθῃ ὁ κεκλη-
κλῶς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώ-
τερον· τότε ἔςαι σοι δόξα ἐνώπιον τῶν συνα-
νακειμένων σοί·

ΡΟΘ. ι. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· 11.
Τέλος τοῦ καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. [Τέ-
σαββάτου. λος.]

ΡΠ. ι. [Ἀρχή.] [Ἄρξου.] ἔλεγε δὲ καὶ τῷ κεκλη- 12. ΟΕ.
Ἄρξου τῆς κότι αὐτόν· ὅταν ποιῇς ἄριςον ἢ δεῖπνον, μὴ
β. φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς
σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας
πλουσίους· μήποτε καὶ αὐτοί σε ἀντικαλέ-
σωσι, καὶ γένηταί σοι ἀνταπόδομα.

ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, 13.
ἀναπήρους, χωλοὺς, τυφλούς·

καὶ μακάριος ἔσῃ· ὅτι ὀυκ ἔχουσιν ἀνταπο- 14.
δοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ
ἀναςάσει τῶν δικαίων.

ἀκού-

XIV, 12. ΟΕ. τῇ β. τῆς θ. [ἐν ἄλλοις· τῇ ε. τῆς η.] ἑβδ. τ. κ. ἑ. εἰσῆλθεν ὁ Ἰησοῦς εἰς οἶκόν τινος [τῶν ἀρχόντων] τῶν Φαρισαίων, σαββάτῳ φαγεῖν ἄρτον, καὶ ἔλεγε τῷ κεκληκότι. [Ἐν ἄλλῳ· τ. κ. ἐ. ἑ. ὁ κ. τῷ κεκληκότι αὐτόν· ὅταν ποιῇς ἄριςον.]

10 ἀνάπεσον] ἀνάπεσε. v. P. et 17, 7. Alii, ex confusione vocalium, ἀνάπεσαι. ἀναπεσάμην enim non est in usu. Clem. Alex. l. l. εἰς τὸν ἔσχατον τόπον ἀνάπιπτε.

12. μηδὲ τοὺς ἀδελφούς σου] — E. Ob similitudinem membrorum alii alia omiserunt.

μηδὲ τοὺς συγγενεῖς σου] — E.

15. ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ· μακάριος ὃς φάγεται * ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. [Τέλος.]

ΝΔ. περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ.

O3. 16. ὁ δὲ εἶπεν αὐτῷ· [Ἀρχή.] ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς·

17. καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

18. καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. ὁ πρῶτος εἶπεν αὐτῷ· ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

19. καὶ ἕτερος εἶπε· ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

20. καὶ ἕτερος εἶπε· γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.

καὶ

XIV, 16. O3. κυριακῇ ια. [ἐν ἄλλοις· κυριακῇ τῶν πρωτοπλάστων καὶ προπατόρων.] ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἐποίησε.

15. ἄρτον] ἄριστον.

16. μέγα] μέγαν. D. De ὁ δεῖπνος monetur in libello περὶ γραμματικῆς γυμνασίας Basilii nomine in edit. Iunt. Apollonii Alexandr. p. 15.

18. Hunc et verſ. 20. attingit Cyrill. I, a. 21. 113. I, g. 100. III, 633.

19. et 20. mutato ordine et cum varietate Orig. III, 149.

καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγ- 21.
γειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργι-
σθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ·
ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας
τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπή-
ρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε
ὧδε.
καὶ εἶπεν ὁ δοῦλος· κύριε, γέγονεν ὡς ἐπέτα- 22.
ξας, καὶ ἔτι τόπος ἐστί.
καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· ἔξελθε 23.
εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, καὶ ἀνάγκασον
εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου.
λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκεί- 24.
Τέλος τῆς κυριακῆς. νων τῶν κεκλημένων γεύσεταί μου τοῦ δεί-
πνου. [Τέλος.]
πρόσκειται δὲ ἐν τισι· πολλοὶ γάρ εἰσιν ἐν ἄλλοις· ταῦτα λέγων.
ΡΠΒ. ε. [Ἀρχή.] συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολ- 25. OZ.
λοί· καὶ στραφεὶς εἶπε πρὸς αὐτούς·
[Ἀρχή.] εἴ τις ἔρχεται πρός με, καὶ οὐ 26. OZ.
μισεῖ τὸν πατέρα * αὐτοῦ, καὶ τὴν μητέρα,
καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς
ἀδελ-

XIV, 25. OZ. τῇ γ. τῆς θ. ἑβδ. τ. κ. ἰ. συνεπορεύοντο τῷ ἰησοῦ ὄχλοι.

XIV, 26. OZ. τῇ ς. τῆς η. ἑβδ. ἐν τισιν· ἰ. ὁ κ. εἴ τις ἔρχεται.

21. δοῦλος ἐκεῖνος] ἐκεῖνος — E.

χωλοὺς καὶ τυφλοὺς] τυφλοὺς καὶ χωλούς. E.

24. δείπνου] + πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. E. v. P. Addit ista etiam Evang. Goth. fol. 99. Aug. fol. 98.

26. πατέρα ἑαυτοῦ] πατέρα αὐτοῦ.

ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν
ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητὴς
εἶναι.
27. καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ
ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μα-
θητής.

NE. περὶ οἰκοδομῆς πύργου παραβολή.

28. τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, ΡΠΓ. ι.
οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην,
εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν;
29. ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ
ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες
ἄρξωνται ἐμπαίζειν αὐτῷ,
30. λέγοντες· ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκο-
δομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.
31. ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέ-
ρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶ-
τον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χι-
λιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων
ἐρχομένῳ ἐπ᾽ αὐτόν;
32. εἰ δὲ μήγε, ἔτι * πόῤῥω αὐτοῦ ὄντος, πρεσ-
βείαν ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.
33. οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσε- ΡΠΔ. ϛ.
ται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύνα-
ταί μου εἶναι μαθητής.

καλὸν

μαθητὴς εἶναι] εἶναι μαθητής. Codd. multi.
27. μου εἶναι] εἶναι μου. Alii Codd.
28. ὑμῶν] + ὁ D.
πρὸς ἀπαρτισμὸν] εἰς ἀπαρτισμόν E.
32. αὐτοῦ πόῤῥω] πόῤῥω αὐτοῦ. Orig. I, 299. αὐτοῦ et ἔτι — ψυχὴν omittit. Sed posterius paullo post addit.

ΡΠΕ. β. καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, 34.
ἐν τίνι ἀρτυθήσεται;
οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· 35.
Τέλος τῆς γ. καὶ ἔν τισι τῆς ς. τῆς η. ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν,
ἀκουέτω. [Τέλος.]
ΡΠϚ. β. [Ἀρχή.] Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες XV, 1.
οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐ- OH.
τοῦ.
καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμ- 2.
ματεῖς λέγοντες ὅτι οὗτος ἁμαρτωλοὺς προσ-
δέχεται, καὶ συνεσθίει αὐτοῖς.
[Ἀρχή.] εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβο- 3. OH.
λὴν ταύτην, λέγων·

NϚ. περὶ τῶν ἑκατὸν προβάτων παραβολή.

ΡΠΖ. ι. τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβα- 4.
τα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλεί-
πει

XV, 1. OH. τῇ δ. τῆς θ. ἑβδ. τ. κ. ἐ. ἦσαν ἐγγίζοντες τῷ ἰησοῦ πάντες.

XV, 3. OH. τῇ β. τῆς θ. ἑβδ. ἔν τισιν. [ἐν ἄλλοις· σεπτεμβρίου ς. τοῦ ἀρχιστρατήγου μιχαὴλ καὶ σεπτεμβρίου ι. τῆς ἁγίας μηνοδώρως.] ἐ. ὁ κ. τὴν παραβολὴν ταύτην· τίς ἄνθρωπος.

34. μωρανθῇ] μωρανθῇ. E. v. P. Forte latini, qui *evanuerit* reddiderunt, in mente habuerunt ματαιωθῇ. Alius apud Sabat. *infatuatum fuerit*. Orig. I, 794. miscet cum Matth. 5, 13. et in fine addit: ὁ ἔχων ὦτα κ. τ. λ.

ἀρτυθήσεται] ἁλισθήσεται. E. ex Matth. 5, 13.

XV, 1. πάντες] nimirum, οἱ τοῦ τόπου ἐκείνου. Latinistae, qui hic fortasse de orbis terrarum portitoribus et peccatoribus cogitabant, omiserunt. Codd. graeci nihil mutant.

καὶ οἱ] οἱ — E.

πει τὰ * ἐνενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ
πορεύεται ἐπὶ τὸ ἀπολωλὸς, ἕως εὕρῃ αὐτό;
5. καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ
χαίρων·
6. καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φί-
λους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς· συγ-
χάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ
ἀπολωλός.
7. λέγω ὑμῖν· ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρα-
νῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ
* ἐνενήκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν
ἔχουσι μετανοίας.
8. ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπο- ΡΠΗ. ι.
λέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον,
καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς,
ἕως ὅτου εὕρῃ;
9. καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ
τὰς γείτονας, λέγουσα· συγχάρητέ μοι, ὅτι
εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα.
10. οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ΡΠΘ. ι.
ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετα- Τέλος τῆς δ.
νοοῦντι. [Τέλος.] καὶ ἐν τισι
τῆς β. τῆς θ.
ΝΖ. περὶ

4. ἐνενηκονταεννέα] ἐνενηκονταεννία. Sic et verf. 7.
ἕως] + οὗ. D. + ὅτου. E.

5. ἑαυτοῦ] αὐτοῦ. D.

6. συγκαλεῖ] συγκαλεῖται. Eadem varietas verf. 9. Multa vetusta Evangeliaria carent lectione 1 — 10. et 3 — 10. Meus v. utroque loco cum edito confentit. Aug. 4. utroque loco habet συγκαλεῖ.

7. Attingit Orig. I, 213. Videtur autem inferre voluisse τῶν ἀγγέλων, certe hoc intellexit ex ἐν τῷ οὐρανῷ aut ex verf. 10. vide et II, 704. III, 224.

NZ. περὶ τοῦ ἀποδημήσαντος ἐις χώραν μακράν.

Ρ5. ι. ἐιπε δέ· [Ἀρχή.] ἄνθρωπός τις ἐιχε δύο 11. ΟΘ.
υἱούς·

καὶ ἐιπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· πά- 12.
τερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.
καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν 13.
ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν ἐις χώ-
ραν μακράν· καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν
αὐτοῦ, ζῶν ἀσώτως.

δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λι- 14.
μὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ
αὐτὸς ἤρξατο ὑστερεῖσθαι.

καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς 15.
χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν ἐις τοὺς
ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.

καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ 16.
ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ
οὐδεὶς ἐδίδου αὐτῷ.

ἐις ἑαυτὸν δὲ ἐλθών, ἐιπε· πόσοι μίσθιοι τοῦ 17.
πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ
λιμῷ ἀπόλλυμαι;

ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου· 18.
καὶ ἐρῶ αὐτῷ, πάτερ, ἥμαρτον ἐις τὸν οὐρα-
νόν, καὶ ἐνώπιόν σου,

καὶ

XV, 11. ΟΘ. κυριακῇ ιζ. τοῦ ἀσώτου· ἐ. ὁ κ. τὴν παρα-
βολὴν ταύτην· ἄνθρωπός τις ἐιχε.

16. γεμίσαι — ἀπὸ] χορτασθῆναι ἐκ. E. v. P. Neutrum graecum.

17. ἐγὼ δὲ] + ὧδε. E.

19. καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου·
ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.
20. καὶ ἀναςὰς ἦλθε πρὸς τὸν πατέρα * αὐτοῦ·
ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν
ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ
δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ,
καὶ κατεφίλησεν αὐτόν.
21. εἶπε δὲ αὐτῷ ὁ υἱός· πάτερ, ἥμαρτον εἰς τὸν
οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ
ἄξιος κληθῆναι υἱός σου.
22. εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ·
ἐξενέγκατε τὴν ςολὴν τὴν πρώτην, καὶ ἐνδύ-
σατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖ-
ρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας·
23. καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύ-
σατε· καὶ φαγόντες εὐφρανθῶμεν·
24. ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε·
καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. καὶ ἤρξαντο
εὐφραίνεσθαι.
25. ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ·
καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε
συμφωνίας καὶ χορῶν·
26. καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυν-
θάνετο τί εἴη ταῦτα;

19. καὶ οὐκέτι] καὶ — D. v. P.
20. πατέρα ἑαυτοῦ] πατέρα αὐτοῦ.
ἐπέπεσεν] ἔπεσεν l. ἐνέπεσεν. E.
22. πόδας] + αὐτοῦ. E.
24. καὶ ἀπολωλὼς ἦν] καὶ — l. ἦν — E. Sic et verf. 32.
26. παίδων] + αὐτοῦ. E. v. P. Euth. 107.
τί] + ἄν. E.

ὁ

ὁ δὲ εἶπεν αὐτῷ· ὅτι ὁ ἀδελφός σου ἥκει· 27.
καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σι-
τευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.
ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ 28.
οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.
ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ, τοσ- 29.
αῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν
σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας
ἔριφον, ἵνα μετὰ τῶν φίλον μου εὐφρανθῶ.
ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου 30.
τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ
τὸν μόσχον τὸν σιτευτόν.
ὁ δὲ εἶπεν αὐτῷ· τέκνον; σὺ πάντοτε μετ' 31.
ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ, σά ἐστιν·
εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ 32.
ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε·
Τέλος τῆς κυριακῆς. καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. [Τέλος.]

ΝΗ. περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας.

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· XVI, 1.
[Ἀρχή.] ἄνθρωπός τις ἦν πλούσιος, ὃς Π.
εἶχεν οἰκονόμον· καὶ οὗτος διεβλήθη αὐτῷ ὡς
διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

καὶ

XVI, 1. Π. τῇ ε. [ἐν ἄλλοις, τῇ γ. καὶ κυριακῇ πρὸ τῆς ς. νοεμβρίου.] τῆς θ. ἑβδ. ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν πλούσιος.

28. οὖν] δέ. B.

XVI, 1. δὲ καὶ] καὶ — E.

διασκορπίζων] σκορπίζων. E.

2. καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· τί τοῦτο
ἀκούω περὶ σου; ἀπόδος τὸν λόγον τῆς οἰκο-
νομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.

3. εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· τί ποιήσω, ὅτι
ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽
ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύ-
νομαι.

4. ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς
οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐ-
τῶν.

5. καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεω-
φειλετῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώ-
τῳ· πόσον ὀφείλεις τῷ κυρίῳ μου;

6. ὁ δὲ εἶπεν· ἑκατὸν βάτους ἐλαίου. καὶ εἶπεν
αὐτῷ· δέξαι σου τὸ γράμμα, καὶ καθίσας
ταχέως γράψον πεντήκοντα.

7. ἔπειτα ἑτέρῳ εἶπε· σὺ δὲ πόσον ὀφείλεις; ὁ
δὲ εἶπεν· ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐ-
τῷ· δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγ-
δοήκοντα.

8. καὶ ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδι-
κίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ
αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς
τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι.

καὶ γὼ

2. οἰκονομίας σου] σου — E.
4. μετασταθῶ] + ἐκ ſ ἀπό. E.
5. κυρίου ἑαυτοῦ] κυρίου αὐτοῦ. E.
6. βάτους] κάβους ſ κάδους. E. βάδους. A. βάδους et βάτους non nisi scribendi modo differunt. 3 Reg. 5, 11. est βχὶθ, ubi alii legunt βάτον. Ergo nihil mutandum. Hebraicum notum est.

καἀγὼ ὑμῖν λέγω· ποιήσατε ἑαυτοῖς φίλους 9.
ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν * ἐκλεί-
πητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκη-
Τέλος τῆς ι. νάς. [Τέλος.]
καὶ ἔν τισι τῆς γ. [Ἀρχή.] ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ 10. ΠΑ.
πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν
πολλῷ ἄδικός ἐστιν.
εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένε- 11.
σθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;
καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, 12.
τὸ ὑμέτερον τίς ὑμῖν δώσει;
ΡΛΑ. ι. οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· 13.
ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγα-
πήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου κα-
ταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ
μαμωνᾷ.

καὶ

XVI, 10. ΠΑ. σαββάτῳ ιδ. ἑ. ὁ. κ. [τοῖς ἑαυτοῦ μαθη-ταῖς·] ὁ πιστὸς ἐν ἐλαχίστῳ.

9. ἐκλίπητε] ἐκλείπητε. A. ἐκλίπη t ἐκλείπη. E. v. P. Genes. 25, 8. 17. explicatius est, ἐκλιπὼν ἀπέθανε. Laudat haec servato ἐκλίπητε Theodoret. ad Hebr. 13, 16. Cyrill. V, b. 154. bis et Chrys. multoties. αἰωνίους] ἑαυτῶν. E. Cyrill. l. l.

10. ἐλαχίστῳ posterius] ὀλίγῳ. E. v. P.

12. ὑμέτερον] v. P. Vulgatum servant etiam omnes, quos postea examinavi et Theodoret. ad Hebr. 11, 14. Sed ἡμέτερον Theophyl. in textu et in schol. 455. b. e. 456. a. Orig. III, 168. verum II, 198. interpres eius vulgatum. In edit. Theophyl. Venet. p. 414. 415. in textu est vulgatum, in scholiis ὑμέτερον.

14. ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι, ΡϟΒ. ι.
φιλάργυροι ὑπάρχοντες· καὶ ἐξεμυκτήριζον
αὐτόν.

ΠΒ. 15. καὶ εἶπεν αὐτοῖς· [Ἀρχή.] ὑμεῖς ἐστὲ οἱ δι-
καιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων· ὁ
δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ
ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Τέλος τοῦ
θεοῦ [Τέλος.] ἐστίν. σαββάτου.

16. ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου· ἀπὸ ΡϟΓ. ι.
τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται,
καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

17. εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν ΡϟΔ. ι.
παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν.

18. πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γα- ΡϟΕ. β.
μῶν ἑτέραν, μοιχεύει· καὶ πᾶς ὁ ἀπολελυμέ-
νην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει. [Ὑπέρβα.] Ὑπέρβα τῆς ς.

ΝΘ. περὶ

XVI, 15. ΠΒ. τῇ ς. τῆς θ. ἑβδ. ε. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ὑμεῖς ἐστέ.

14. de Orig. v. P. Idem III, 269 ἤκουον γὰρ ταῦτα πάντα οἱ Φαρ. φιλάργυροι ὑπάρχοντες, καὶ ἐμυκτήριζον αὐτόν. Cyrill. III, 337. δὲ αὐτὰ οἱ — φιλάργ. ὄντες καί. Vulgata lectio consistit Codd. auctoritate. ὑπάρχοντες et hic et 11, 13. non ex auctoritate Codd., nec ex grammaticis rationibus correctum est, sed ex opinionibus dogmaticis, ne scilicet homines *a natura* videantur esse mali.

15. θεοῦ ἐστιν] ἐστιν — A.

16. ἰωάννου]. + προεφήτευσαν. E. v. P.

καὶ πᾶς εἰς αὐτὴν βιάζεται] — E. v. P.

18. μοιχεύει] μοιχᾶται. E. Sic et mox.

ΝΘ. περὶ τοῦ πλουσίου καὶ τοῦ λαζάρου.

P55. ι. [Ἀρχή.] ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ 19. ΠΓ.
ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, ἐφραινό-
μενος καθ' ἡμέραν λαμπρῶς.
πτωχὸς δέ τις ἦν ὀνόματι λάζαρος, ὃς ἐβέ- 20.
βλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος,
καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων 21.
τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλου-
σίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλει-
χον τὰ ἕλκη αὐτοῦ.
ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπε- 22.
νεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν
κόλπον * ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλού-
σιος, καὶ ἐτάφη.

καὶ

XVI, 19. ΠΓ. κυριακῇ ι. ἑ. ὁ κ. [τὴν παραβολὴν ταύτην] ἄνθρωπός τις ἦν πλούσιος.

-19. Hanc parabolam a multis ante ſe expoſitam eſſe, monet Chryſ. I, 752. a. Tractat eam ibid. 714. et 778. a. ubi negat divitis nomen fuiſſe νινευής. Habet eam etiam Cyrill. V, b. 149. d. v. P.

καθ' ἡμέραν] — E. Cyrill. l. l.

20. ἦν et ὃς] — E. Cyrill.

πρὸς] εἰς t παρά. E. εἰς Cyrill. mox, ἡλκόμενος, vitioſe.

21. τῶν ψιχίων] — E. ἀπὸ τῶν πιπτ. ψιχ. Cyrill.

πλουσίου] + καὶ οὐδεὶς ἐδίδου αὐτῷ. E. Ex 15, 16. v. P.

ἀπέλειχον] ἔλειχον. E. Theophyl. 459. b. v. P. Chryſ. vulgatum I, 720. ſed VI, 156. περιλείχειν.

22. ὑπὸ τῶν] ἀπὸ τῶν. E.

κόλπον τοῦ] τοῦ —. Cyrill. IV, 107. εἰς κόλπον ἀβραὰμ ἀπηνέχθη, ἀντὶ τοῦ, ἐν υἱοῖς ἀβραὰμ κατατέτακται. Sed l. l. ſuperius ſervat τοῦ.

ἐτάφη — ἐπάρας] ἐτάφη ἐν τῷ ᾅδῃ· ἐπάρας οὖν ſeu δέ. E. v. P. Haec eſt illa recenſio occidentalis!

23. καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν ἀβραὰμ
ἀπὸ μακρόθεν, καὶ λάζαρον ἐν τοῖς κόλποις
αὐτοῦ·
24. καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ ἀβραὰμ,
ἐλέησόν με, καὶ πέμψον λάζαρον, ἵνα βά-
ψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος,
καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶ-
μαι ἐν τῇ φλογὶ ταύτῃ.
25. εἶπε δὲ ἀβραάμ· τέκνον, μνήσθητι ὅτι ἀπέ-
λαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου,
καὶ λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ * ὧδε
παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.
26. καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ
ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέ-
λοντες

23. ἀπὸ μακρόθεν] — E. Cyrill.
κόλποις αὐτοῦ] + ἀναπαυόμενον. E. v. P.

24. ὕδατος] Chryſ. I, 785. divitem interrogat: ποῦ νῦν οἱ οἰνοχόοι σου; repetit Photius ibid. XIII, 277. a. Compara Cyrill. V, b. 150. a. b.

25. σὺ] — D. Cyrill. Orig. I, 228. loco ἀπέλαβες videtur inferre ἀπέσχες.
νῦν δὲ ὅδε] νῦν δὲ ὧδε. Chryſ. haec locis fere innumerabilibus tractat, ut I, 735. d. Inter alia recitat VIII, 257. 456. cum varietate, ubi loco ὅδε eſt οὗτος. ὅδε Cyrill.

26. χάσμα] *Chaos* Latiniſtae, qui ſaepius lectiones et interpretationes Chryſoſtomi ſequuntur. Ita etiam interpres Orig. hoc eſt, Latina vulgata II, 183. Ita etiam lapſu memoriae Chryſ. IX, 639. et alibi. Sed χάσμα rurſus VIII, 503. b. et alibi. v. P.
ἐστήρικται] loco, διέρεικται, διέῤῥηκται, ἀνεῤῥάγη.

λοντες διαβῆναι * ἔνθεν πρὸς ὑμᾶς, μὴ δύ-
νωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπε-
ρῶσιν.
εἶπε δέ· ἐρωτῶ οὖν σε πάτερ, ἵνα πέμψῃς 27.
αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου·
ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρη- 28.
ται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς
τὸν τόπον τοῦτον τῆς βασάνου.
λέγει αὐτῷ ἀβραάμ· ἔχουσι μωυσέα καὶ 29.
τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν.
ὁ δὲ εἶπε· οὐχί, πάτερ ἀβραάμ· ἀλλ᾽ ἐάν 30.
τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετα-
νοήσουσιν.
εἶπε δὲ αὐτῷ· εἰ μωυσέως καὶ τῶν προφη- 31.
Τέλος τῆς τῶν οὐκ ἀκούουσιν, οὐδέ, ἐάν τις ἐκ νεκρῶν
κυριακῆς. ἀναστῇ, πεισθήσονται. [Τέλος.]
ΡϞΖ. β. [Ἄρξου.] Εἶπε δὲ πρὸς τοὺς μαθητάς· XVII, 1.
Ἄρξου τῆς ἀνένδεκτόν ἐστι * τοῦ μὴ ἐλθεῖν τὰ σκάνδα-
ε. λα· οὐαὶ δὲ δι᾽ οὗ ἔρχεται.
λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται 2.
περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς

τὴν

* ἐντεῦθεν] ἔνθεν.
27. 28. attingit Orig. I, 35.
29. λέγει] + δέ. D.
30. ἀπὸ νεκρῶν] ἐκ νεκρῶν. E. ex verſ. 31.
31. ἀναστῇ] + καὶ ἀπέλθῃ πρὸς αὐτοὺς ɩ ἀπέλθῃ ɩ πο-
ρευθῇ. E. v. P.
XVII, 1. ἐστι] + τοῦ. Habet etiam Chryſ. VII, 594. c.
Abeſt tamen in ſchol. Theophyl. 464, a.
2. μύλος ὀνικὸς] λίθος μυλικός. B v. Mill. Ex Marco.
Infimi Codd. id etiam intulerunt Matth. 18, 6. et

contra

τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν
μικρῶν τούτων.

ΠΔ. 3. [Ἀρχή.] προσέχετε ἑαυτοῖς· ἐὰν δὲ ἁμάρτῃ ΡϞΗ. ε.
εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ
ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ.

4. καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, ΡϞΘ. ε.
καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ, * λέγων· Τέλος τῆς
μετανοῶ· ἀφήσεις αὐτῷ. [Τέλος.] κυριακῆς.

5. καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ· πρόσθες C. ε.
ἡμῖν πίστιν.

6. εἶπε δὲ ὁ κύριος· εἰ * εἴχετε πίστιν ὡς κόκκον
σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ·
ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ·
καὶ ὑπήκουσεν ἂν ὑμῖν.

τίς

XVII, 3. ΠΔ. σαββάτῳ ιε ἑ. ὁ κ. προσέχετε ἑαυτοῖς· ἐὰν δὲ [ἁμαρτήσῃ.] ἁμάρτῃ.

contra Marc. 9, 42. intulerunt μύλος ὀνικός. Wetstenii Cod. 13. et hic et apud Marc. intulit λίθος μυλωνικός. Hoc est fabricari varias lectiones ad ludibrium lectorum. Qui vero isti Codices sunt? Wetst. C. D. L. 1. 13. quos partim ad Alex. partim ad occident. recensionem refert Griesb.

περίκειται] περιέκειτο t περιετέθη. E. Propter περιέκειτο corrigendum quoque erat ἐλυσιτέλει quod aliqui Latinistarum fecerunt. v. Sabat.

3. δὲ et εἰς σὲ] — E.

4. ἁμάρτῃ] ἁμαρτήσῃ. E. vide mox.

εἰς σὲ] — E. Orig. I, 254. ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου. ὁ ἀδ. σου perspicuitatis caussa ibi additum. Sed ibi abest etiam τῆς ἡμέρας, quod nimium videbatur.

ἐπιστρέψῃ ἐπὶ σὲ] ἐπὶ σὲ —. Alii πρὸς, alii ἐπὶ, alii εἰς, qui dissensus arguit interpolationem. v. P.

6. εἴχετε] ἔχετε. v. P.

λοντες διαβῆναι * ἔνθεν πρὸς ὑμᾶς, μὴ δύ-
νωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπε-
ρῶσιν.
εἶπε δέ· ἐρωτῶ οὖν σε πάτερ, ἵνα πέμψῃς 27.
αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου·
ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρη- 28.
ται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς
τὸν τόπον τοῦτον τῆς βασάνου.
λέγει αὐτῷ ἀβραάμ· ἔχουσι μωυσέα καὶ 29.
τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν.
ὁ δὲ εἶπε· οὐχὶ, πάτερ ἀβραάμ· ἀλλ᾽ ἐάν 30.
τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς, μετα-
νοήσουσιν.
εἶπε δὲ αὐτῷ· εἰ μωυσέως καὶ τῶν προφη- 31.
Τέλος τῆς τῶν οὐκ ἀκούουσιν, οὐδὲ, ἐάν τις ἐκ νεκρῶν
κυριακῆς. ἀναστῇ, πεισθήσονται. [Τέλος.]
ΡΞΖ. β. [Ἄρξου.] Εἶπε δὲ πρὸς τοὺς μαθητάς· XVII, 1.
Ἄρξου τῆς ἀνένδεκτόν ἐστι * τοῦ μὴ ἐλθεῖν τὰ σκάνδα-
ς. λα· οὐαὶ δὲ δι᾽ οὗ ἔρχεται.
λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται 2.
περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται εἰς
τὴν

* ἐντεῦθεν] ἔνθεν.

27. 28. attingit Orig. I, 35.

29. λέγει] + δέ. D.

30. ἀπὸ νεκρῶν] ἐκ νεκρῶν. E. ex verf. 31.

31. ἀναστῇ] + καὶ ἀπέλθῃ πρὸς αὐτοὺς t ἀπέλθῃ t πορευθῇ. E. v. P.

XVII, 1. ἐστι] + τοῦ. Habet etiam Chryf. VII, 594. c. Abeft tamen in fchol. Theophyl. 464. a.

2. μύλος ὀνικὸς] λίθος μυλικός. B v. Mill. Ex Marco. Infimi Codd. id etiam intulerunt Matth. 18, 6. et

contra

τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν
μικρῶν τούτων.

ΠΔ. 3. [Ἀρχή.] προσέχετε ἑαυτοῖς· ἐὰν δὲ ἁμάρτῃ ΡϞΗ. ε.
εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ
ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ.

4. καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, ΡϞΘ. ε.
καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ, * λέγων·
μετανοῶ· ἀφήσεις αὐτῷ. [Τέλος.] Τέλος τῆς κυριακῆς.

5. καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ· πρόσθες Ϲ. ε.
ἡμῖν πίστιν.

6. εἶπε δὲ ὁ κύριος· εἰ * εἴχετε πίστιν ὡς κόκκον
σινάπεως, ἐλέγετο ἂν τῇ συκαμίνῳ ταύτῃ·
ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ·
καὶ ὑπήκουσεν ἂν ὑμῖν.

τὶς

XVII, 3, ΠΔ. σαββάτῳ ιε ἑ. ὁ κ. προσέχετε ἑαυτοῖς· ἐὰν δὲ [ἁμαρτήσῃ.] ἁμάρτῃ.

contra Marc. 9, 42. intulerunt μύλος ὀνικός. Wetstenii Cod. 13. et hic et apud Marc. intulit λίθος μυλωνικός. Hoc est fabricari varias lectiones ad ludibrium lectorum. Qui vero isti Codices sunt? Wetst. C. D. L. 1. 13. quos partim ad Alex. partim ad occident. recensionem refert Griesb.

περίκειται] περιέκειτο t περιτεθῇ. E. Propter περιέκειτο corrigendum quoque erat ἐλυσιτέλει quod aliqui Latinistarum fecerunt. v. Sabat.

3. δὲ et εἰς σὲ] — E.

4. ἁμάρτῃ] ἁμαρτήσῃ. E. vide mox.

εἰς σὲ] — E. Orig. I, 254. ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου. ὁ ἀδ. σου perspicuitatis caussa ibi additum. Sed ibi abest etiam τῆς ἡμέρας, quod nimium videbatur.

ἐπιστρέψῃ ἐπὶ σὲ] ἐπὶ σὲ —. Alii πρὸς, alii ἐπὶ, alii εἰς, qui dissensus arguit interpolationem. v. P.

6. εἴχετε] ἔχετε. v. P.

ΞΑ. τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ 7.
ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ
ἐρεῖ εὐθέως· παρελθὼν * ἀνάπεσε;
ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ ἑτοίμασον τί δειπνήσω, 8.
καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω
καὶ πίω· καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίε-
σαι σύ;
μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ ὅτι ἐποίησε 9.
τὰ διαταχθέντα; * οὐ δοκῶ.
οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ 10.
διαταχθέντα ὑμῖν, λέγετε· ὅτι δοῦλοι ἀχρεῖοί
ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκα-
Τέλος τοῦ σαββάτου. μεν. [Τέλος.]

Ζ. περὶ τῶν δέκα λεπρῶν.

καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς ἱερου- 11.
σαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου σα-
μαρείας καὶ γαλιλαίας.
καὶ ['Αρχή.] εἰσερχομένου αὐτοῦ εἴς τινα κώ- 12. ΠΕ.
μην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ
ἔστησαν πόῤῥωθεν.
καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· ἰησοῦ ἐπι- 13.
στάτα, ἐλέησον ἡμᾶς.

καὶ

XVII, 12. ΠΕ. κυριακῇ ιβ. τ. κ. ἐ. εἰσερχομένου τοῦ ἰησοῦ εἴς τινα κώμην.

7. ἀνάπεσαι] ἀνάπεσον. E. ἀνάπεσε. v. P.

8. ἕως] + οὗ t ἄν. E.

9. διαταχ. αὐτῷ] αὐτῷ —

10. ὅτι δοῦλοι] ὅτι — E.

ὅτι ὃ] ὅτι — E. De Orig. v.P.

14. καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξα-
τε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ
ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν.
15. εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε,
μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν.
16. καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας
αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν σα-
μαρείτης.
17. ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, εἶπεν· οὐχὶ οἱ δέκα
ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;
18. οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν
τῷ θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος;
19. καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου
σέσωκέ σε. [Τέλος.] Τέλος τῆς κυριακῆς.
ΠϚ. 20. [Ἀρχή.] ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων, CB. ι.
πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ, ἀπεκρί-
θη αὐτοῖς καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασι-
λεία τοῦ θεοῦ μετὰ παρατηρήσεως·
21. οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ,
ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν.

εἶπε

XVII, 20. ΠϚ. τῇ β. τῆς ι. [ἐν ἄλλοις, τῇ δ. τῆς θ.] ἑβδ. τ. κ. ἐ. ἐπερωτηθεὶς ὁ ἰησοῦς ὑπὸ τῶν.

21. ἢ ἰδοὺ] ἢ — E. Habet Orig. I, 238. IV, 294. ἰδοὺ γὰρ] ἀλλά. E. Orig. I, 238. et mox ἡμῶν, loco ὑμῶν. Sed ὑμῶν III, 459. et ibid. 243. βασ. τῶν οὐρανῶν — ὑμῶν. rurſus τοῦ θεοῦ et ὑμῶν IV, 294. Per Origenem ergo licet probare θεοῦ, οὐρανῶν, ὑμῶν et ἡμῶν. Nos quaerimus, quid per Codices ex eo non corruptos probandum ſit? Simul vero intelligitur, quam attente Origenes examinatus

ſit

CΓ. ι. εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἐλεύσονται ἡμέ- 22.
ραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ
υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε.

CΔ. β. καὶ ἐροῦσιν ὑμῖν· ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ· μὴ 23.
ἀπέλθητε, μηδὲ διώξητε.

CE. ι. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς 24.
ὑπ' οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει·
οὕτως ἔσται * ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ
ἡμέρᾳ αὐτοῦ.

CS. β. πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ 25.
ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης.

Τέλος τῆς β. [Τέλος.]

CZ. ι. καὶ [Ἀρχή.] καθὼς ἐγένετο ἐν ταῖς ἡμέ- 26. ΠΖ.
ραις * νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις
τοῦ υἱοῦ τοῦ ἀνθρώπου·
ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο, ἄχρι 27.
ἧς ἡμέρας εἰσῆλθε νῶε εἰς τὴν κιβωτόν· καὶ
ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσεν ἅπαν-
τας.

CH. ι. ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις λώτ· 28.
ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον,
ᾠκοδόμουν·

ἢ

XVII, 26. ΠΖ. τῇ γ. τῆς ι. ἑβδ. ἰ. ὁ κ. καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις.

lit verſu 4. et 21. ab iis, qui eum tanto opere commendant.

ἐκεῖ] + ὁ χριστός. E. Sic et verſ. 23.

23. ἢ ἰδοὺ] ἢ — E.

24. ἔσται καὶ] καὶ —

26. τοῦ νῶε] τοῦ —

27. ἐξεγαμίζοντο] ἐγαμίζοντο t ἐγαμίσκοντο. E.

29. ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε λὼτ ἀπὸ σοδόμων, ἔβρε-
ξε πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ, καὶ ἀπώλε-
σεν ἅπαντας.
30. κατὰ ταῦτα ἔσαι ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀν- Τέλος ἔν τισι
θρώπου ἀποκαλύπτεται. [Τέλος.] τῆς δ. τῆς θ.
ΠΖ. 31. [Ἀρχή.] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσαι ἐπὶ τοῦ CΘ. β.
δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ,
μὴ καταβάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ ἀγρῷ,
ὁμοίως μὴ ἐπιςρεψάτω εἰς τὰ ὀπίσω.
32. μνημονεύετε τῆς γυναικὸς λώτ. CI. ι.
33. ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπο- CIA. γ.
λέσει αὐτήν· καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτὴν,
ζωογονήσει αὐτήν.
34. λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ CIB. ε.
κλίνης μιᾶς· * εἷς παραληφθήσεται καὶ ὁ
ἕτερος ἀφεθήσεται.
35. δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· * μία
παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσε-
ται. *
36. * 37. καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· ποῦ κύριε; CIΓ. ι.
ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα, ἐκεῖ συν- Τέλος τῆς γ. καὶ ἔν τισι
αχθήσονται οἱ ἀετοί. [Τέλος.] τῆς ε. τῆς θ.

ΣΑ. περὶ Ἐν ἄλλοις, ὑπέρβα τῆς γ.

XVII, 31. ΠΖ. τῇ ε. τῆς θ. ἑβδ. ἔν τισιν· ἐ. ὁ κ. ἐν ἐκεί-
νῃ τῇ ἡμέρᾳ.
33. ζωογονήσει] ζωοποιήσει t σώσει. E.
34. ὁ εἷς] ὁ —
35. ἡ μία] ἡ —
36. δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραληφθήσεται, καὶ
ὁ ἕτερος ἀφεθήσεται] — v. P. Euth. 107. II. 580.
37. σῶμα] πτῶμα. E.

ΞΑ. περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.

CIΔ. ι. Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ XVIII, 1.
δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν,
λέγων· [Ἀρχή.] κριτής τις ἦν ἔν τινι πόλει 2. ΠΗ.
τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ
ἐντρεπόμενος.
χήρα δὲ * ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ ἤρχε- 3.
το πρὸς αὐτὸν, λέγουσα· ἐκδίκησόν με ἀπὸ
τοῦ ἀντιδίκου μου.

καὶ

XVIII, 2. ΠΗ. σαββάτῳ ιγ. ἑ. ὁ κ. τὴν παράβολην ταύτην· κριτής τις ἦν.

οἱ αὐτοὶ] καὶ οἱ αὐτοί. E. Post αὐτοὶ Evangeliarium Mosq. f. fol. 211. in lectione τῇ γ. τῆς ι. in fine addit 18, 8. πλὴν — γῆς. Hoc ideo factum, ne haec pars prorſus excluderetur. Nam reliqua Evangeliaria et hoc ipſum f. proximas duas lectiones incipiunt et terminant; primam 18, 2—8. τάχει. ſecundam 10—14. Ergo iſta omittuntur. Neque vero hoc unum Evangeliarium f. id proprium habet, ſed ita notatur etiam in Goettingenſi Codice, qui Gebhianus dicitur, ſeu Wetſt. 89. Vide, quae dixi ad Marcum in priore editione p 305. 306. ad Luc. 17, 37. 18, 8. Hac de re nullus editor ante me monuerat, In noviſſima tamen edit. Griesb. ex mea addidit: *Evangeliſtaria quaedam.* Utinam vel unum ex iſtis *Evangeliſtariis* notaſſet. Ergo aliena pro ſuis venditavit. Nihil enim proprium habet praeter compilationes.

XVIII, 1. δὲ καὶ et αὐτοῖς] — Orig. v, mox.

προσεύχεσθαι] + αὐτούς. A. Habet et omittit Orig. v. Orig. I, 213. a. et P. Laudant haec Chryſ. II, 785. VII, 581. Damasc. II, 464. 523. 677.

2. λέγων] — Orig. l. l.

3. δέ τις] τις —

4. καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦ-
τα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν Θεὸν οὐ φο-
βοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι·
5. διάγε τὸ παρέχειν μοι κόπον τὴν χήραν
ταύτην, ἐκδικήσω αὐτήν· ἵνα μὴ εἰς τέλος
ἐρχομένη * ὑποπιάζῃ με.
6. εἶπε δὲ ὁ κύριος· ἀκούσατε, τί ὁ κριτὴς τῆς
ἀδικίας λέγει.
7. ὁ δὲ Θεὸς οὐ μὴ * ποιήσῃ τὴν ἐκδίκησιν τῶν
ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν
ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ'
αὐτοῖς;
8. λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν Τέλος τοῦ
ἐν τάχει· [Τέλος.] πλὴν ὁ υἱὸς τοῦ ἀνθρώ- σαββάτου.
που ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς καὶ ἐν τισιν ἄρξου τῆς γ.
γῆς; [Τέλος.] Τέλος ἐν τισι τῆς γ.

εἶπε

5. ὑπωπιάζῃ] ὑποπιάζῃ. Non nulli, ὑποπιέζῃ, quae eſt alia forma. In N. Teſt. alibi etiam eſt πιάζειν, loco πιέζειν. v. P. ad h. l. et ad Matth. 26, 39. p. 429.

7. ποιήσει] ποιήσῃ.

μακροθυμῶν] μακροθυμεῖ t μακροθυμήσει. E. Locum non intelligebant. Ergo corrigebant. De interpretatione v. Theophyl. 474. b. 475. a. Idem tamen ibid. κριτὴν ἀδικίας de deo interpretatur. μακροθυμεῖν h. l. eſt βραδύνειν· καὶ vero eſt loco καίπερ. v. P.

ἐπ' αὐτοῖς] ἐπ' αὐτούς. E. Cum ſaepe ita vitioſe ſit in N. Teſt. ſcribae his adſueti id quoque hic mutarunt. Sed illo modo dixit etiam Sirac. 18, 11. et 32, 18. ubi ſynonymum eſt βραδύνειν.

8. λέγω] καὶ λέγω. E.

ἐν τάχει] — E. v. P.

εἶπε δὲ * πρός τινας τοὺς πεποιθότας ἐφ᾽ 9.
ἑαυτοῖς ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας
τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην.

ΠΒ. περὶ τοῦ τελώνου καὶ τοῦ Φαρισαίου.

[Ἀρχή.] ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν 10. ΠΘ.
προσεύξασθαι· ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος
τελώνης.

ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα 11.
προσηύχετο· ὁ θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ
εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπα-
γες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τε-
λώνης.

νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάν- 12.
τα ὅσα κτῶμαι.

καὶ

XVIII, 10. ΠΘ. κυριακῇ ιϛ. τοῦ τελώνου καὶ τοῦ Φαρισαίου· ε. ὁ κ. τὴν παραβολὴν ταύτην· ἄνθρωποι δύο ἀνέβησαν.

πλὴν — γῆς] Desunt haec in Evangeliariis, quotquot vidi, omnibus, quod etiam ex hac edit. intelligitur. Unum Evangeliarium haec inculcat post 17, 36. (37.) uti modo notavi. Laudat haec Cyrill. V, d. 127. nominatim et 178. d. cum aliqua varietate. Vide etiam Orig. III, 144. 204. IV, 158.

9. δὲ καὶ] —

10. ἀνέβησαν] ἀνέβαινον. E. Ita ex graecismo, ut vers. 4. ἤθελεν, loco ἠθέλησεν. Utroque loco Codices plures probant vulgatum. v. P. ad vers. 11. Multoties hunc locum tractat Chrys. et Cyrill. II, 577. V, b. 11.

11. ὥσπερ] ὡς. E. Orig. I, 490. III, 145.

12. τοῦ σαββάτου] τῆς ἑβδομάδος. E. Chrys. VII, 352. a. Ita recte, non legit, sed interpretatus est Theophyl. 477. b. v. Epiphan. I, 34. b. Euth. 177. et ad Matth. 6, 1.

13. καὶ ὁ τελώνης μακρόθεν ἑςὼς οὐκ ἤθελεν
οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶ-
ραι· ἀλλ' ἔτυπτεν εἰς τὸ ςῆθος αὐτοῦ, λέ-
γων· ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.
βαίνοντα ὅπου ἦν τὸ πρότερον;
Ο. δ. τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφε- 63.
λεῖ οὐδέν. τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν,
πνεῦμά ἐστι καὶ ζωή ἐστιν.
ΟΑ. ι. ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινὲς οἳ οὐ πιστεύουσιν. 64.
ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ
πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐ-
τόν.
ΟΒ. δ. καὶ ἔλεγε· διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς 65.
δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον
αὐτῷ ἐκ τοῦ πατρός μου.

ἐκ

58. ὁ τρώγων] + μου. E. ὁ φάγων ταῦτα — ζήσει.
Orig. IV, 145. c. ὁ τρώγων τοῦτον — ζήσει I, 245.
sed abest ὑμῶν τὸ μάννα.

ζήσεται] ζήσει. D. Ita etiam aliqui vers. 57.

66. ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν ΟΓ. ι.
αὐτοῦ ἐις τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ
περιεπάτουν.

67. ἐιπεν οὖν ὁ ἰησοῦς τοῖς δώδεκα· μὴ καὶ ὑμεῖς
θέλετε ὑπάγειν;

68. ἀπεκρίθη οὖν αὐτῷ σίμων πέτρος· κύριε, πρὸς ΟΔ. α.
τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου
ἔχεις·

69. καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι
σὺ ἐι ὁ χριστὸς ὁ ὑιὸς τοῦ θεοῦ τοῦ ζῶντος.
[Τέλος.] Τέλος τῆς

70. ἀπεκρίθη αὐτοῖς· * ὀυκ ἐγὼ ὑμᾶς τοὺς δώ- ΟΕ. ι.
δεκα ἐξελεξάμην, καὶ ἐξ ὑμῶν ἐις διάβολός
ἐστιν;

71. ἔλεγε δὲ τὸν ἰούδαν σίμωνος ἰσκαριώτην· οὗτος
γὰρ ἤμελλεν αὐτὸν παραδιδόναι, ἐις ὢν ἐκ
τῶν δώδεκα.

VII, 1. Καὶ [Ἀρχή.] περιεπάτει ὁ ἰησοῦς μετὰ ταῦ-
ΚΕ. τα ἐν τῇ γαλιλαίᾳ· ὀυ γὰρ ἤθελεν ἐν τῇ
ἰου-

VII, 1. ΚΕ. τῇ γ. τῆς δ. ἑβδ. τ. κ. ἰ. περιεπάτει ὁ ἰησοῦς ἐν τῇ γαλιλαίᾳ.

69. ὁ χριστὸς] Cyrill. IV, 393. c. ἐπιτήρει δὲ, ὅπως πανταχῆ μοναδικῶς καὶ προτεταγμένου τοῦ ἄρθρου φασί· σὺ ἐι ὁ χριστὸς, ὁ ὑιὸς τοῦ θεοῦ τοῦ ζῶντος. Ut hic alii exhibent ἅγιος ita Marco 1, 24. ὑιὸς, loco ἅγιος. Scilicet, ut varient et turbent orationem.

70. αὐτοῖς ὁ ἰησοῦς] ὁ ἰησοῦς —.

ἐξ ὑμῶν ἐις] ἰδοὺ ἐις ἐξ ὑμῶν. E. Cyrill. I, g. 18. Sed vulg. IV, 394.

VII, 1. καὶ περιεπάτει] vulgatum habet, sed mox ordinem turbat Chrys. VIII, 283. a. b.

ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ ἰου-
δαῖοι ἀποκτεῖναι.
ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαίων ἡ σκηνο- 2.
πηγία.
εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· με- 3.
τάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν ἰου-
δαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι
τὰ ἔργα σου ἃ ποιεῖς.
οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ 4.
αὐτὸς ἐν παῤῥησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς,
φανέρωσον σεαυτὸν τῷ κόσμῳ.
οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. 5.
λέγει οὖν αὐτοῖς ὁ ἰησοῦς· ὁ καιρὸς ὁ ἐμὸς 6.
οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάν-
τοτέ ἐστιν ἕτοιμος.
οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μι- 7.
σεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ
ἔργα αὐτοῦ πονηρά ἐστιν.
ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην· ἐγὼ 8.
οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ
καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται.

ταῦτα

ἤθελεν] εἶχεν ἐξουσίαν. E. Chryſ. v. P. Euth. 188. III, 261. Cyrill. ut alii, vulgatum. IV, 270. 396. Eodem modo Chryſ. 13, 27. infert ἐπαῖζε, idque etiam, ut hic, urget.

4. ἐν παῤῥησίᾳ] φανερῶς. E. Chryſ. VII, 468. a
φανέρωσον] δεῖξον. E. Chryſ. VIII, 122. d. Utroque loco vulg. Cyrill. I, g. 222. ſed ordine inverſo. Accuratius IV, 897. ſed τι, ante ἐν κρυπτῷ, ut priori loco.

8. οὔπω] οὐκ. E. v. P. Euth. III, 266. qui diſerte habet οὔπω.

9. ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ γαλι-
λαίᾳ.

10. ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ
αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν, οὐ φανερῶς,
ἀλλ' ὡς ἐν κρυπτῷ.

11. οἱ οὖν ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ,
καὶ ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος;

12. καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς
ὄχλοις. οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν· ἄλ-
λοι δὲ ἔλεγον· οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον.

13. οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ,
διὰ τὸν φόβον τῶν ἰουδαίων. [Τέλος.] Τέλος τῆς γ.

ΚΣ. 14. ἤδη δὲ ['Αρχή.] τῆς ἑορτῆς μεσούσης, ἀνέβη
ὁ ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε.

15. καὶ ἐθαύμαζον οἱ ἰουδαῖοι, λέγοντες· πῶς
οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς;

16. ἀπεκρίθη * οὖν αὐτοῖς ὁ ἰησοῦς καὶ εἶπεν· ἡ
ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμ-
ψαντός με.

17. ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώ-
σεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ θεοῦ
ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.

ὁ

VII. 14. ΚΣ. τῇ δ. τῆς μεσοπεντηκοστῆς τῆς ἑορτῆς με-
σούσης, ἀνέβη ὁ ἰησοῦς.

12. ἄλλοι δὲ] δὲ —

ὄχλον] κόσμον. E. v. Euth. I. 833. 849. III, 269.
Orig. II. 794. οὗτος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, ἀλλὰ
πλανᾷ τὸν ὄχλον.

16. ἀπεκρίθη] + οὖν.

ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν 18.
ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαν-
τος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν
αὐτῷ οὐκ ἔστιν.

οὐ μωυσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς 19.
ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖτε ἀπο-
κτεῖναι;

ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπε· δαιμόνιον ἔχεις· 20.
τίς σε ζητεῖ ἀποκτεῖναι;

ἀπεκρίθη * Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· ἓν ἔρ- 21.
γον ἐποίησα, καὶ πάντες θαυμάζετε.

διὰ τοῦτο μωυσῆς δέδωκεν ὑμῖν τὴν περιτο- 22.
μὴν, οὐχ ὅτι ἐκ τοῦ μωυσέως ἐστὶν, ἀλλ' ἐκ
τῶν πατέρων· καὶ ἐν σαββάτῳ περιτέμνετε
ἄνθρωπον.

εἰ δὲ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαβ- 23.
βάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος μωυσέως, ἐμοὶ
χολᾶ-

21. ὁ Ἰησοῦς] ὁ —

θαυμάζετε.] Hic distingit Chrys. VIII, 291. fin. et Cyrill. IV, 418. quem etiam vide 419. et Euth. III, 277. Sed Theophyl. in schol. ad h. l. διὰ τοῦτο ad θαυμάζετε refert. Cautior fuit in interpretatione Chrys., qui διὰ τοῦτο, ut ambiguum, prorsus omisit. Omnis difficultas, ut arbitror, ita evanescit. Τὴν περιτομὴν est, τὴν περὶ τῆς περιτομῆς ἐντολήν. Καὶ περιτέμνετε autem interpretor: ἵνα καὶ ἐν σαββάτῳ περιτέμνητε, καὶ οὕτω καὶ αὐτοὶ τὸν περὶ τοῦ σαββάτου νόμον λύητε. Nemo non novit, illud καὶ ex Hebraismo plurium particularum vim obtinere. οὐχ — πατέρων dictum est ἐν παρενθέσει. Bene autem his docetur, non Mosis inventum esse, sed praeceptum dei ad Abrahamum. Haec obiter.

χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν
σαββάτῳ;
24. μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρί-
σιν κρίνατε.
25. ἔλεγον οὖν τινὲς ἐκ τῶν ἱεροσολυμιτῶν· οὐχ
οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι;
26. καὶ ἴδε, παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ
λέγουσι· μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχον-
τες ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ χριστός;
27. ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ χρι-
στὸς ὅταν * ἔρχηται, οὐδεὶς γινώσκει πόθεν
ἐστίν.
28. ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς, ΟΣ. γ.
καὶ λέγων· κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν
εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ'
ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ
οἴδατε.
29. ἐγὼ * οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμι, κἀκεῖ-
νός με ἀπέστειλεν.
30. ἐζήτουν οὖν αὐτὸν πιάσαι· καὶ οὐδεὶς ἐπέβα- ΟΖ. α.
λεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει Τέλος τῆς
ἡ ὥρα αὐτοῦ. [Τέλος.] μεσοπεντη-
κοστῆς.

πολλοὶ

24. τὴν δικαίαν κρίσιν] κρίμα δίκαιον. E. Orig. II, 647.

27. ἔρχεται] ἔρχηται.

29. ἐγὼ δὲ] δὲ —. Propter notam Cod. Barb. 10. apud Birch. v. Evangeliarium Gothanum a me editum p. 3. *

30. τὴν χεῖρα] τὰς χεῖρας. E. Sic vers. 44. ubi contra alii τὴν χεῖρα. Vulg. Orig. IV, 398.

ΟΗ. ι. πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν ἐις αὐτὸν, 31.
καὶ ἔλεγον· ὅτι ὁ χριστὸς ὅταν ἔλθῃ, μήτι
πλείονα σημεῖα τούτων ποιήσει ὧν ὄυτος
ἐποίησεν;

ΟΘ. α. ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος 32.
περὶ αὐτοῦ ταῦτα· καὶ ἀπέστειλαν * ὑπηρέ-
τας οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς, ἵνα πιά-
σωσιν αὐτόν.

Π. ι. ἔιπεν ὄυν * ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον μεθ' 33.
ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαν-
τά με.

ΠΑ. ι. ζητήσετέ με, καὶ ὀυχ εὑρήσετε· καὶ ὅπου 34.
εἰμὶ ἐγὼ, ὑμεῖς ὀυ δύνασθε ἐλθεῖν.

ἔιπον ὄυν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ ὄυτος 35.
μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς ὀυχ εὑρήσομεν
αὐτόν; μὴ ἐις τὴν διασπορὰν τῶν ἑλλήνων
μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς ἕλλη-
νας;

τίς ἐστιν ὄυτος ὁ λόγος ὃν ἔιπε· ζητήσετέ με, 36.
καὶ ὀυχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς
ὀυ δύνασθε ἐλθεῖν;

ἐν

31. μήτι] μή. E. Versu 35. inverterunt, et μήτι, loco μὴ, dederunt.

32. ἀπέστειλαν] + ὑπηρέτας, omisso ὑπηρέτας post ἀρχιερεῖς.

33. ὄυν αὐτοῖς] αὐτοῖς —

35. ἑλλήνων] ἐθνῶν in interpretatione habent Chrys. et Cyrill. Hinc corruptio in Codd. aliquibus ἐθνῶν. Ἕλληνες h. l. sunt Iudaei inter gentiles degentes. Ii enim dicuntur esse, ἐν διασπορᾷ. Notum hoc poterat esse vel ex epistolis catholicis.

KZ. 37. ἐν δὲ ['Αρχή.] τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραζε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω.

38. ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

39. τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ

VII, 37. KZ, κυριακῇ τῆς πεντηκοστῆς εἰς τὴν λειτουργίαν· τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς.

36. Testibus Altero et Birchio in Cod. Kollar. IX. inter vers. 36. et 37. legitur narratio de adultera 7, 53. et 8, 1—11. deinde 7, 37—52. et 8, 12. Non miror. Quia enim in lectione εἰς τὴν πεντηκοστὴν narratio de adultera omittitur, ob eam caussam lectio altera εἰς τὴν ἁγίαν πελαγίαν seu εἰς σχῆμα γυναικὸς, quae non interrumpitur, prius scribebatur. Nam lectio εἰς τὴν πεντηκοστὴν a 7, 53. ad 8, 11. interrumpitur. Ut ergo scriba ita exhiberet, motus est Evangeliariis seu lectionariis. Eadem ratione poterat etiam 7, 53 et 8, 1—11. scribere post 8, 12. Nam nec hoc mirabile fuisset. Vide, quae dixi ad Luc. 21, 38.

38. ἡ γραφὴ] v. P. Chrys. VIII, 501. c. videtur etiam inferre: κατὰ τὰς γραφάς. Nam ποταμοὶ κ. τ. λ. Christi effatum appellat. Cyrill. IV, 470. b. putat, Christum non verba, sed sensum expressisse locorum V. Test. Eundem locum tractat II, 581. 823. III, 801. V, a. 656. 670. et alibi. Vide etiam Theophyl. 670. fin. et Euth. III, 289. Attingit Orig. II, 779.

39. οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι] Nullus bonae notae Codex hic aliquid vel omittit, vel addit. Igitur nec

γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι * ἰησοῦς οὐδέπω
ἐδοξάσθη.

ΠΒ ζ. πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν 40.
λόγον, ἔλεγον οὗτός ἐστιν ἀληθῶς ὁ προφή-
της.

ΠΓ. ζ. ἄλλοι ἔλεγον οὗτός ἐστιν ὁ χριστός. ἄλλοι * 41.
ἔλεγον μὴ γὰρ ἐκ τῆς γαλιλαίας ὁ χριστὸς
ἔρχεται;
οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος 42.
δαυίδ, * καὶ ἀπὸ βηθλεὲμ τῆς κώμης, ὅπου
ἦν δαυίδ, ὁ χριστὸς ἔρχεται;

ΠΔ. σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. 43.

τινὲς

nor in iis, quos post priorem edit. comparavi, aliquid varietatis animadverti, nisi in Aug. 12. qui addit δεδομένον. Chryſ. VII, 368 b. ſine ulla appendice laudat, ſed paullo poſt, ut ſuum, non ut Ioannis, habet δεδομένον. VIII. 300. c. 301. ubi praecedit δοθεῖσα χάρις, mox hoc explicat τουτέστι, δοθέν. v. Theophyl. 671. d. e. 672. a. Apud Cyrill. IV, 470. 476. abeſt ἅγιον, ſed habet 705 I, a. 303. omittit 404. habet V, g. 80. omittit 145. Qui ergo in his rebus certi eſſe volunt, adire debent Patres. Miror autem, quod Cyrill. V, a. 656. hoc non ſolum περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας, ἀλλὰ καὶ τῆς φύσεως explicat. Haud dubie ſcripſerat ἐκχύσεως, non φύσεως. Orig. IV, 388. 422. 456, omiſſo ἅγιον, habet οὔπω.

ὅτι ὁ] ὁ — Loco ὅτι exhibet ἐπεί. Chryſ. VIII, 801. a.

40. τὸν λόγον] + τοῦτον t τῶν λόγων t αὐτοῦ τὸν λόγον. E.

41. ἄλλοι δὲ ſecundo loco] δὲ —

42. δαυίδ prius] + καί. Ita etiam editt. aliae.
ὅπου ἦν δαυίδ] ὅθεν ὁ δαυίδ ἦν. E. Orig. I, 367.

44. τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' ΠΕ. δ.
οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.
45. ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς ΠΣ. ι.
καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· διατί
οὐκ ἠγάγετε αὐτόν;
46. ἀπεκρίθησαν οἱ ὑπηρέται· οὐδέποτε οὕτως
ἐλάλησεν ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος.
47. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· μὴ καὶ
ὑμεῖς πεπλάνησθε;
48. μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν,
ἢ ἐκ τῶν Φαρισαίων;
49. ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον,
ἐπικατάρατοί εἰσι.
50. λέγει νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς
πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν·
51. μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν
μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί
ποιεῖ;
52. ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· μὴ καὶ σὺ ἐκ
τῆς γαλιλαίας εἶ; ἐρεύνησον, καὶ ἴδε, ὅτι προ-
φήτης ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται.
[Ὑπέρβα.] Ὑπέρβα εἰς τὸ τῆς πεν-
53. καὶ * ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. τηκοστῆς.

* Καὶ

52. ἐρεύνησον] ἐρώτησον. E. v. P. Euth. III, 294.

53. ἐπορεύθη] ἀπῆλθεν v. Euth. III, 294. In Cod. Wettt. 83. ab hoc loco ad VIII, 11. κατακρίνω versus in marg. notati sunt hoc signo ͻ quo alibi loca V. Test. notantur. Sed in marg. a prima manu est lectio

* Καὶ ἰησοῦς * ἐπορεύθη ἐις τὸ ὄρος τῶν VIII, 1.
ἐλαιῶν·
ὄρθρου δὲ πάλιν * βαθέος ἦλθεν ὁ ἰησοῦς ἐις 2.
τὸ ἱερὸν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐ-
τόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς.

[Ἐπιγραφὴ ἐν τισι. Ι. περὶ τῆς μοιχαλίδος.]
[Ἀρχή.] ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ 3. ΚΗ.
Φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα * ἐπὶ μοιχείᾳ
κατει-

VIII, 3. ΚΗ. ἐις μετανοοῦντας, καὶ μάλιστα ἐπὶ γυναι-κῶν, {ἐν ἄλλοις ὀκτωβρίου η. τῆς ὁσίας πελαγίας. ἐν ἄλλοις· σεπτεμβρίου ια. τῆς ὁσίας θεοδώρας. καὶ ἐις σχῆμα γυναικός.] τ. κ. ἐ. ἄγουσιν [τῷ ἰησοῦ.] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς τὸν ἰησοῦν γυ-ναῖκα.

lectio: ἐις μετανοοῦντα τῷ καιρῷ ἐκείνῳ ἄγ. οἱ γρ. καὶ οἱ Φαρ. πρὸς τὸν ἰησοῦν γύν. ἐπί. v. P. p. 359 — 368.

VIII, 1. ἰησοῦς δὲ] καὶ ὁ ἰησοῦς.

2. ὄρθρου] v. Euth. 128. nota a.

πάλιν παραγίνετο ἐις] πάλιν βαθέος ἦλθεν ὁ ἰησοῦς ἐις.

λαὸς] ὄχλος. E. λαὸς etiam in interpr. Euth.

ἤρχετο] ἐρχόμενος. E.

πρὸς αὐτὸν] — E.

3. Codex, quem in nova varr. lectt. collectione appello 14. hic in marg habet a prima manu: ι. περὶ τῆς μοιχαλίδος i. e. caput X. *de adultera.* Ceterum nec ſtellulas, nec obeliscos, nec quicquam aliud habet in margine. In fine Codicis autem in ſynaxario legitur, ut in meo k. ἐπὶ ἐξομολογ. — κη. v. P. p. 142. Iſtud κη. eſſe numerum lectionis, hic inter lectt. ecclesiaſt. licet videre. Evangeliarium Gothanum hanc lectionem habet fol. 214. Octobri VIII. ἐις τὴν ὁσίαν πελαγίαν. In eodem fol. 262. eadem lectio notatur: ἐις σχῆμα γυναικός. Augu-ſtanum

κατειλημμένην, καὶ στήσαντες αὐτὴν ἐν * τῷ μέσῳ,

4. * εἶπον αὐτῷ· διδάσκαλε, * ταύτην εὕρομεν ἐπαυτοφώρῳ * μοιχευομένην.

ἐν

stanum hac lectione caret. Nam in Octobrem X. fol. 215. remittit ad σαββ. ιζ. τοῦ ματθ. fol. 79. id est, Matth. 25, 1—13. Ad eandem lectionem remittit fol. 260. in lectione: εἰς σχῆμα γυναικός. Si ergo in Evangeliariis aliquibus haec lectio non occurrat, non est mirandum. Erat enim duplex in has duas liturgias lectio. Ergo alius hanc, alius istam scribebat. In Codice, quem in nova collectione appello 15. nulla omnino nota est. Nec enim commentarium habet, nec scriptus est pro usu ecclesiae. Codices autem 11. et 12. hanc totam ῥῆσιν omittere, per se intelligitur. Nam 11. est cum scholiis Theophylacti: 12. vero cum commentario. Cum enim hi scribae nihil reperirent in commentariis, frustra textum scribere nolebat. Idem licet cognoscere ex aliis Codicibus, qui scholia habent.

ἄγουσι δὲ] δὲ — E. Omittitur in lectt. ecclef.

πρὸς αὐτὸν] — E. Duplex est initium lect. eccl. τῷ ἰησοῦ et πρὸς τὸν ἰησοῦν. Ii ergo, qui habebant τῷ ἰησοῦ, necessario praetermittebant πρὸς τὸν ἰησοῦν, ac simul quoque, πρὸς αὐτὸν, quod erat textus perpetui. Si Codices textus perpetui plures ac bonae notae reperti essent, qui haberent: ἄγουσι δὲ αὐτῷ οἱ, facile crederem, πρὸς αὐτὸν, ex πρὸς τὸν ἰησοῦν illatum esse. Sed Codices, qui exhibent, καὶ προσήνεγκαν αὐτῷ, nihil demonstrant. Sublato autem πρὸς αὐτὸν, tamen legendum esset αὐτῷ. *Ad eum* laudat etiam Sabat. ex Latinistis.

ἐν μοιχείᾳ] ἐπὶ μοιχείᾳ.

κατειλημμένην] καταληφθεῖσαν. D.

ἐν μέσῳ] ἐν τῷ μέσῳ.

4. λέγουσιν αὐτῷ] + πειράζοντες. E. εἶπον. D.

ἐν δὲ τῷ νόμῳ * ἡμῶν μωυσῆς * ἐνετείλατο 5.
τὰς τοιαύτας * λιθάζειν· σὺ οὖν, τί λέ-
γεις;
τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχω- 6.
σι * κατηγορίαν κατ᾽ αὐτοῦ. ὁ δὲ ἰησοῦς
κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν
γῆν, * μὴ προσποιούμενος.
ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν, ἀνακύψας 7.
εἶπεν * αὐτοῖς· ὁ ἀναμάρτητος ὑμῶν, πρῶ-
τος * λίθον * βαλέτω ἐπ᾽ * αὐτήν.

καὶ

αὕτη ἡ γυνὴ κατελήφθη ἐπαυτοφώρῳ μοιχευομένη] ταύτην εὕρομεν ἐπαυτοφώρῳ (seu, ἐπ᾽ αὐτοφώρῳ) μοιχευομένην. *Invenimus* laudatur etiam a Sabat. ex Ambros. et Cassiod.

5. ἐν δὲ τῷ νόμῳ μωυσῆς ἡμῖν ἐνετείλατο] ἐν δὲ τῷ νόμῳ ἡμῶν μωυσῆς ἐνετείλατο. A. Sic et alii, sed ἡμῖν, loco ἡμῶν. D. Alii eodem modo, sed ἡμῶν μωυσῆς ἡμῖν. E.

λιθοβολεῖσθαι] λιθάζειν. A. λιθάζεσθαι. D.

λέγεις] + περὶ αὐτῆς. A.

6. κατηγορεῖν αὐτοῦ] κατηγορίαν κατ᾽ αὐτοῦ.

γῆν] + μὴ προσποιούμενος. Er nahm sich ihrer Rede nicht an, er that, als gienge ihm die Sache nichts an. Sic est apud Isidor. Pelus. lib. I. epist. 420. τὰς τῶν πενήτων προσποιεῖσθαι κακώσεις, *animum advertere.* Euthymius non agnoscit, μὴ προσποιούμενος. Habet tamen in interpretatione: προσεποιεῖτο (*simulabat*) γράφειν εἰς τὴν γῆν. Hinc fortasse alii omiserunt μὴ, alii scripserunt, καὶ προσποιούμενος. Nam ex Graecis solus Euthymius hunc locum interpretatus est. v. Wetst. Similis locus est de Menedemo apud Diog. Laert. lib. II. pag. 95. λαβὼν δὲ κάρφος, διέγραφεν εἰς τοὔδαφος.

7. ἐρωτῶντες] ἐπερωτῶντες. D. Suspectum, ut elegantius. Quae vero stultitia Latinistarum, qui ἐπιμέ-

νειν

8. καὶ πάλιν κάτω κύψας, ἔγραφεν εἰς τὴν
γῆν.
9. οἱ δὲ ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως
ἐλεγχόμενοι, ἐξήρχοντο εἷς καθεῖς, ἀρξάμε-
νοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων·
καὶ κατελείφθη μόνος ὁ ἰησοῦς, καὶ ἡ γυνὴ
ἐν μέσῳ * οὖσα.

ἀνα-

ειν reddiderunt *expectare?* Sacramento contendas, eos hausiſſe ſapientiam ſuam ex Schrevelio, Spieſero et Lindnero.

ἀνακύψας] ἀναβλέψας. D. Moleſtum, credo, erat κάτω κύψας, ἀνακύψας et rurſus κάτω κύψας.

εἶπε πρὸς αὐτοὺς] εἶπεν αὐτοῖς. A.

πρῶτος] πρῶτον. E.

τὸν λίθον] τὸν —.

ἐπ' αὐτῇ βαλέτω] βαλέτω ἐπ' αὐτήν.

8. γῆν] + ἑνὸς ἑκάστου αὐτῶν τὰς ἁμαρτίας t eorum, qui accuſabant, et omnium peccata mortalium. E. Ex recenſione ſcurrili. Addendum erat etiam: *ſecundum quod ſcriptum eſt in Propheta: relinquentes autem te, in terra ſcribentur.* v. Sabat.

9. καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι] —. Credo, aliquis vocabulo ἐξήρχοντο adſcripſerat: ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι. Hoc deinde alius, addito καὶ, inſeruit contextui. Tamen per ſe haec verba haud adeo ſuſpecta ſunt. Sunt vero eiusmodi ἐπιχειρήσεις apud Ioannem haud admodum frequentes.

πρεσβυτέρων] + *et ſedebant cogitantes de ſe.* E. Cur non potius: *et ſcribebant, nihil cogitantes?*

ἕως τῶν ἐσχάτων] — D. πρεσβύτεροι, ut notum eſt, h. l. ſunt ſeniores: ἔσχατοι ergo *iuniores. Ab iis, quibus maior verecundia debebatur, ad infimos.*

μόνος ὁ ἰησοῦς] ὁ ἰησοῦς μόνος. D.

ἑστῶσα] οὖσα.

ἀνακύψας δὲ ὁ ἰησοῦς * ἴδεν αὐτὴν καὶ 10.
ἶπε· * γύναι, ποῦ ἐισιν οἱ κατήγοροί σου;
ὀυδείς σε κατέκρινεν;
ἡ δὲ ἶπεν· οὐδείς, κύριε. ἶπε δὲ αὐτῇ ὁ ἰησοῦς· 11.
Τέλος τῶν μετανοούντων. οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου καὶ * ἀπὸ
τοῦ νῦν μηκέτι ἁμάρτανε. [Τέλος.]
Ἄρξου τῆς πεντηκοστῆς. [Ἄρξου.] πάλιν ὄυν * αὐτοῖς ὁ ἰησοῦς ἐλά- 12.
λησε, λέγων· [Ἀρχή.] ἐγώ εἰμι τὸ φῶς τοῦ ΚΘ.
κόσμου· ὁ ἀκολουθῶν ἐμοί, οὐ μὴ * περιπα-
τήσῃ.

VIII, 12. ΚΘ. τῇ ε. τῆς δ. ἑβδ. ἐ. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ἐγώ εἰμι.

10. καὶ μηδένα θεασάμενος πλὴν τῆς γυναικὸς] ἴδεν αὐτὴν καί. Infertis, καὶ μηδένα, neceſſario tollebantur, ἴδεν αὐτὴν καί. B.
ἶπεν αὐτῇ] ἶπε. A.
ἡ γυνὴ] — D. γύναι.
ποῦ εἰσιν] — D.
εἰσιν ἐκεῖνοι] ἐκεῖνοι —.
ἐκεῖνοι οἱ κατήγοροί σου] οἱ κατήγοροί σου — B.

11. δὲ αὐτῃ] αὐτῇ — A.
πορεύου, καὶ μηκέτι] πορεύου, καὶ ἀπὸ τοῦ νῦν μηκέτι.
ἁμάρτανε] ad hunc de adultera locum ergo Patres ὡς ἐν οἰκίσκῳ καθειρξάντες ἑαυτοὺς ἐσίγησαν. Nemo foras pedem extulit. Maximas habeo gratias. Etenim ſi quis aut Origenes, aut Chryſoſtomus in ſuggeſtum prodiiſſet, treqentas haberemus lectiones homileticas, mirabiles ac ſibi repugnantes. Continuo autem poſt haec erumpit Cyrillus, qui verſum 12. multoties recitat.

12. πάλιν ὄυν ὁ ἰησοῦς αὐτοῖς ἐλάλησε, λέγων] πάλιν ὄυν αὐτοῖς ὁ ἰησοῦς ἐλάλησε λέγων.
περιπατήσει] περιπατήσῃ. Rurſus aliquos indicativus poſt coniunctivum et particulam ἀλλὰ malo
habuit

τήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς
ζωῆς. [Τέλος.] Τέλος τῆς πεντηκοστῆς.

13. εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν
ἀληθής.

14. ἀπεκρίθη ἰησοῦς καὶ εἶπεν αὐτοῖς· κἂν ἐγὼ
μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου· ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ
ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι,
καὶ ποῦ ὑπάγω.

15. ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω
οὐδένα.

καὶ

habuit. περιπατήσει Cyrill. IV, 286. II, 697. V, a. 368. περιπατήσῃ II, 687. 855. V, a. 384. V, b. 332. περιπατήσει. Chryſ. VIII, 306. b. Idem ibid. a. ἐγώ φῶς εἰμι τοῦ κόσμου. De Cyrillo altum ſilentium apud Wetſt. Ergo etiam apud Griesb.

13. Φαρισαῖοι] pro eo ex Birchio ex Syr. Hieroſ. Griesbachius laudat, οἱ ἰουδαῖοι. Unde quaeſo hoc? Scilicet Chryſ. VIII, 306. a. oratorie interrogat: τί οὖν οἱ ἰουδαῖοι; σὺ περὶ σεαυτοῦ κ. τ. λ. Poterat ita, ut orator, interrogare Chryſ. Phariſaei enim non Turcae erant, ſed Iudaei. Quae vero haec ſit lectionis varietas, per ſe apparet. Sic in eadem pag. d. verſ. 14. iterum interrogat: τί οὖν αὐτός; (nimirum Ieſus.) κἂν ἐγὼ κ. τ. λ. Forte ergo etiam loco ἰησοῦς notandum eſt αὐτός; O critici, critici!

14. ὑμεῖς δὲ — ὑπάγω] δὲ — D. — E. v. P. Deſunt haec adeo apud Cyrill. IV, 488. Quot ergo Codices ad manus habuit S. Pater, quo tempore hoc evangelium illuſtrabat commentario? Scilicet Alexandrinos omnes.

καὶ ποῦ] ἢ ποῦ. E. Graeci in his libentius dicunt ἤ. In N. Teſt. eſt fere plerumque καί.

καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀλη- 16.
θής ἐστιν· ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ
ὁ πέμψας με πατήρ.
καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, 17.
ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.
ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ 18.
μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.
ΠΖ. γ· ἔλεγον οὖν αὐτῷ· ποῦ ἐστιν ὁ πατήρ σου; 19.
ἀπεκρίθη * ἰησοῦς· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν
πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα
μου ᾔδειτε ἄν.
ΠΗ. α· ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ ἰησοῦς ἐν τῷ 20.
γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς
ἐπίασεν αὐτὸν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα
Τέλος τῆς ε. αὐτοῦ. [Τέλος]
ΠΘ. ι. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ ἰησοῦς· [Ἀρχή.] 21. Δ.
ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ
ἁμαρ-

VIII. 21. Δ. τῇ ς. τῆς δ. ἑβδ. καὶ σαββάτῳ μετὰ τὴν ὕψωσιν· ε ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ἐγὼ ὑπάγω.

19. ὁ ἰησοῦς] ὁ —
ᾔδειτε ἄν] ἂν ᾔδειτε. E. v. P. Quoniam Wetst. et ex eo Griesb. pro hoc Cyrillum etiam laudavit, laudabo ipse quoque Cyrillum ex Cyrillo in partem contrariam, v. 1, a. 235. b. Chrys. habet etiam, ᾔδειτε ἄν, sed non eo in loco, ubi haec interpretatur: nam ibi totum locum omittit: sed VIII, 294. c. v. P.

20. ὁ ἰησοῦς] — E. v. P.
ἐπίασεν] Qui hic Origenis facundiam et sapientiam cognoscere cupit, evoluat IV, 292. b. c. d.

21. Sine varietate Orig. IV, 454. nisi quod ante ὅπου interponitur καί.

ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ
ὑπάγω, ὑμεῖς ου δύνασθε ἐλθεῖν.

22. ἔλεγον ὅυν οἱ ἰουδαῖοι· μήτι ἀποκτενεῖ ἑαυτὸν,
ὅτι λέγει· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς ὀυ δύνα-
σθε ἐλθεῖν;

23. κα᾽ εἶπεν ἀυτοῖς· ὑμεῖς ἐκ τῶν κάτω ἐςὲ,
ἐγὼ ἐκ τῶν ἄνω ἐιμί· ὑμεῖς ἐκ τοῦ κόσμου
τούτου ἐςὲ, ἐγὼ ὀυκ ἐιμὶ ἐκ τοῦ κόσμου τοῦ-
του.

24. ἔιπον ὅυν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς
ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιςεύσητε ὅτι
ἐγώ ἐιμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις
ὑμῶν.

25. ἔλεγον ὅυν αὐτῷ· σὺ τίς ἐι; κα᾽ ἔιπεν αὐτοῖς
ὁ ἰησοῦς· τὴν ἀρχὴν ὅ, τι κα᾽ λαλῶ ὑμῖν;
πολλὰ

25. ὅ, τι] Griesb. hic in interiore marg. oſtentat ὅτι. Atqui noſſe debebat, Codices pauciſſimos reperiri, in quibus diſtinguantur ὅ, τι et ὅτι. Plerumque pro utroque ſcribitur iunctim ὅτι. Ex Latiniſtis idem laudat: *initium*, ſeu *principium*, *quod*, ſeu *quia*. Ac Latiniſtas ſaepe ineptiſſime ὅτι reddere *quia*, etiam tum, cum accuſativus cum infinitivo requiritur, aut cum in interpretatione prorſus omittendum eſt, ſatis notum eſt omnibus. *Principium* aeque ſtultum eſt atque *initium*. Quod vero Griesb. vulgatae *qui* pro ὅτι etiam laudavit, id imperite fecit. Reddendum: *cur vero omnino vobiscum loquor? cur fruſtra vobiscum disputo?* Ipſe Cyrill. IV, 511. in his argutatur. Habet enim: ἀλλὰ δίκαια πάσχω, ὅτι καὶ λόγου παρ᾽ ὑμῖν ἐποιησάμην ἀρχὴν — deinde rectius: ὅτι καὶ προσφώνηκα. Rectius Chryſ. VIII, 311. b) τοῦ ὅλως ἀκούειν τῶν λόγων — ἀνάξιοί ἐστε. Sic et Theophyl.

πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· 26.
ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι· κἀγὼ ἃ
ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν
κόσμον.
οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. 27.
εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς· ὅταν ὑψώσητε τὸν 28.
υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ
εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθ-
ὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ.
καὶ ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ 29.
με μόνον ὁ πατὴρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ
ποιῶ πάντοτε.
ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν 30.
Τέλος τῆς ς. εἰς αὐτόν. [Τέλος.]

[Ἀρχή.]

26. πολλὰ] Griesb. tradit, Chrysoftomum haec referre ad praecedentia. Vide VIII, 311. b. Locum non intellexit. Id docet etiam Euth. III, 309. Aliud eft, referre ad fuperiora fententiam, aliud verba. Sententiam eo refert, fed non verbum πολλά. Cyrillus etiam inter ὑμῖν et πολλὰ interponit interpretationem fuam. Fortaffe Griesbachius Chryfoftomum tantum legere folet ἐν τῇ μεγάλῃ παρασκευῇ. v. Griesb. comment. crit. in textum gr. N. T. p. 145. fub * et **

περὶ ὑμῶν λαλεῖν] καὶ λέγειν. E. Ita, non aliter, habet Chryf. l. l. et in Codd. MSS. Mosqq. Griesbachius poft ὑμῶν ex Chryf. notat καί. Verus ergo fui, cum dixi, eum raro fcriptis Chryfoftomi inferere caput. Ex Chryf. fecit Theophyl. 68. c. in fcholiis: πολλὰ ἔχω λέγειν ὑμῖν, λαλεῖν καὶ κρίνειν· deinde tamen interpretatur folum λαλεῖν et κρίνειν. Plura hoc verfu mifcet et turbat Chryf. v. VIII, 311. b. bis et 313. b.

ταῦτα λέγω] ταῦτα λαλῶ. E.

31. [Ἀρχή.] ἔλεγεν οὖν ὁ ἰησοῦς πρὸς τοὺς πεπιςευκότας αὐτῷ ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐςὲ,

32. καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

33. ἀπεκρίθησαν αὐτῷ· σπέρμα ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις· ὅτι ἐλεύθεροι γενήσεσθε;

34. ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς· ἀμὴν * ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐςι τῆς ἁμαρτίας.

35. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.

36. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.

37. οἶδα ὅτι σπέρμα ἀβραάμ ἐςε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

38. ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε.

ἀπε-

VIII, 31. ΛΑ. σαββάτῳ δ. ἑ. ὁ κ. πρὸς τοὺς [ἐληλυθότας πρὸς αὐτόν.] πεπιςευκότας εἰς αὐτὸν ἰουδαίους· ἐὰν ὑμεῖς.

33. ὅτι ἐλεύθεροι] Cum hic Latiniſtae nec *quod*, nec *quia* habeant, Griesbachius eos laudat pró omiſſo ὅτι. v. verſ. 25.

34. δοῦλός τῆς ἁμ. ἐςίν. Orig. III, 585. et vulg. IV, 424.

38. πατρί μου] Griesb. ait, Cyrill. *diſerte* excludere μου. In quo tomó? Septem enim ſunt. Omittit

 ſane

ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· ὁ πατὴρ ἡμῶν 39.
ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ ἰησοῦς· εἰ τέκνα
τοῦ ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ ἀβραὰμ
ἐποιεῖτε ἄν·
νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς 40.
τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα
παρὰ τοῦ θεοῦ· τοῦτο ἀβραὰμ οὐκ ἐποί-
ησεν.
ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. 41.
εἶπον οὖν αὐτῷ· ἡμεῖς ἐκ πορνείας οὐ γεγεν-
νήμεθα· ἕνα πατέρα ἔχομεν τὸν θεόν.
εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς· [Ἀρχή.] εἰ ὁ θεὸς 42. ΛΒ.
πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ

ἐκ

VIII, 42. ΛΒ. τῇ β. τῆς ε. ἑβδ. ἑ. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· εἰ ὁ θεός.

fane μου IV, 545. Sed ex 546. b. contrarium potius licet intelligere, ubi est, τὴν τοῦ πατρὸς τοῦ ἐμοῦ φύσιν. Alibi apud Cyrill. non inveni, quamquam mox verſ. 39. frequenter laudat. v. P.

39. ἦτε] Sic et. Orig. I, 299. In aliis locis ὁριστικῶς, non ut hic, ὑποθετικῶς, hanc ſententiam retulit. Ergo non eſt varietas. III, 145. eſt, ἂν ἐποιεῖτε. IV, 104. deeſt ἄν.

ἐποιεῖτε ἂν] ἂν — D. v. Euth. 191.

40. θεοῦ] πατρός. E. v. Euth. 191. Cyrill. IV, 548. c, intextu. Urget etiam in interpret. 549. Locum tamen ſimilem comparat d. ἃ ἤκουσα παρὰ τοῦ πατρός. Eius verba ſunt: ὃν γὰρ εἴρηκε — παρὰ τοῦ πατρὸς, ἀλλὰ παρὰ τοῦ θεοῦ. Ergo rurſus impudenter mentitur Griesb. Habet enim: πατρὸς Cyr. in commentar. Laudat hunc verſum Orig. I, 381. 410. 705. II, 741. IV, 392. 402. 446.

41. ἐκ πορνείας] v. Euth. III, 324.

42. εἶπεν οὖν] οὖν. — D.

ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω. [Τέλος.] οὐδὲ Τέλος τοῦ
γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με σαββάτου.
ἀπέστειλε.
43. διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε;
ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.
44. ὑμεῖς ἐκ * τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ
τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε
ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς,
καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· ὅτι οὐκ ἔστιν
ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ
τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶ καὶ ὁ πα-
τὴρ αὐτοῦ.
45. ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.
46. τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ
ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι;
47. ὁ ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει·
διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ * τοῦ
Θεοῦ οὐκ ἐστέ.

ἀπε-

43. λαλιὰν] ἀλήθειαν. E. v. P.
44. ὑμεῖς ἐκ] + τοῦ.
ὅτι ψεύστης — πατ. αὐτοῦ] omittit quidem Chryſ. VIII, 518. d. ſed 519. a. videtur agnoscere. Habet enim: ἐκεῖνος γὰρ ἔτεκε τὸ ψεῦδος. v. P. pag. 368. — 375. in primis 375. ubi Origenes *trinitatem diabolorum* etiam finxit. Interrogabis: *ſatin' ſanus fuerit?*
46. Hic verſus propter ὁμοιοτέλευτα excidit ex Codd. aliquibus, etiam in meo Mosq. a. qui tamen eum exhibet in calce folii, addita nota κείμενον. Saepe hunc verſum laudat Cyrill. I, g. 847. 401. II. 693. V, b. 291. VI, a. 92. VI, b. 595. et alii.
47. ὅτι ἐκ] + τοῦ.

ἀπεκρίθησαν ὄυν ὁι ἰουδαῖοι καὶ ἔιπον αὐτῷ· 48
ὀυ καλῶς λέγομεν ἡμεῖς, ὅτι σαμαρείτης ἔι
σὺ, καὶ δαιμόνιον ἔχεις;
ἀπεκρίθη ἰησοῦς· ἐγὼ δαιμόνιον ὀυκ ἔχω; 49
ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς
ἀτιμάζετέ με.
ἐγὼ δὲ ὀυ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν 50
καὶ κρίνων.
[Ἀρχή.] ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν 51 ΛΓ.
λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον ὀυ μὴ θεω-
Τέλος τῆς β. ρήσῃ ἐις τὸν αἰῶνα. [Τέλος.]
ἔιπον ὄυν αὐτῷ ὁι ἰουδαῖοι· νῦν ἐγνώκαμεν ὅτι 52
δαιμόνιον ἔχεις. ἀβραὰμ ἀπέθανε καὶ ὁι
προφῆται, καὶ σὺ λέγεις· ἐάν τις τὸν λόγον
μου τηρήσῃ, ὀυ μὴ * γεύσηται θανάτου ἐις
τὸν αἰῶνα.
μὴ σὺ μείζων ἔι τοῦ πατρὸς ἡμῶν ἀβραὰμ, 53
ὅστις ἀπέθανε; καὶ ὁι προφῆται ἀπέθανον·
τίνα σεαυτὸν σὺ ποιεῖς;

ἀπε-

VIII, 51. ΛΓ. τῇ γ. τῆς ε. ἑβδ. ι. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ἀμὴν ἀμήν.

48. λέγομεν] ἐλέγομεν. E. v. Euth. 192. Ita debebat esse. Et ita Chryſ. VIII, 321. d. ſed ibid. c. vulgatum. Vulgat Cyrill. IV, 568. b. d. I, g. 381, Multa hoc verſu miscet Chryſ. I, 505. Sic alibi aliqui ἴδει malebant, loco δεῖ. Locus eſt Actt. 24, 19.

52. γεύσεται] γεύσηται. Subtilis ac vere philoſophica ad h. l. disputatio eſt Origenis. Primo enim vir Hebraice doctus discrimen ſtatuit inter θεωρεῖν τὸν θάνατον et inter γεύεσθαι· deinde interrogat, an non etiam dici poſſit, ἀκούειν θανάτου, ὀσφραίνεσθαι θανάτου et ἅπτεσθαι θανάτου. v. P.

53. σὺ ποιεῖς] σὺ — E.

54. ἀπεκρίθη ἰησοῦς· ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν,
ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ
δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ὑμῶν
ἐστι,
55. καὶ οὐκ ἐγνώκατε αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν·
καὶ ἐὰν εἴπω· ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι
ὅμοιος ὑμῶν, ψεύστης· ἀλλ' οἶδα αὐτὸν, καὶ
τὸν λόγον αὐτοῦ τηρῶ.
56. ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα
ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ
ἐχάρη.
57. εἶπον οὖν οἱ ἰουδαῖοι πρὸς αὐτόν· πεντήκοντα
ἔτη οὔπω ἔχεις, καὶ ἀβραὰμ ἑώρακας;
58. εἶπεν αὐτοῖς ὁ ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν,
πρὶν ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.
59. ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν·
ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ,
διελ-

54. θεὸς ὑμῶν] θεὸς ἡμῶν. D.
56. v. Euth. 192. Orig. IV, 88. 105.
57. πεντήκοντα] τεσσαράκοντα. E. Certum pro incerto ponebant Iudaei. Correctio arguta. Chryſ. hoc invexit VIII, 324. a. bis. I, 505. Eum ſequitur Euth. III, 336. qui hic ἀντίγραφα, ſcilicet Chryſostomi, memorat. Diſſentit Theophyl. 690. in textu et in ſchol. πεντήκοντα Cyrill. reperit in comment. IV, 585. c. et II, 419. V, a. 685. V, d. 11. 38. Diſerte ita Severus in Caten. Cord. 243. v. Euth. 192.
58. εἶπεν] + οὖν. E.
γενέσθαι — εἰμί] v. P. Diſerte etiam εἰμὶ tuetur et explicat Scholiaſta Cod. Aug. 12. etſi ἤμην dicendum erat. v. Orig. I, 750.
59. ἦραν οὖν] καὶ ἔλαβον. E. Chryſ. VIII, 324. a. etiam in MSS. Mosqq.

διελθὼν διὰ μέσου αὐτῶν· καὶ παρῆγεν οὕτω.

Τέλος τῆς γ. [Τέλος.]

I. Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.

Καὶ [Ἀρχή.] παράγων εἶδεν ἄνθρωπον τυ- IX, 1.
φλὸν ἐκ γενετῆς. ΛΔ.
καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέ- 2.
γοντες· ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γο-
νεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;
ἀπεκρίθη * ἰησοῦς· οὔτε οὗτος ἥμαρτεν, οὔτε 3.
οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔρ-
γα τοῦ θεοῦ ἐν αὐτῷ.

ἐμὲ

IX, 1. ΛΔ κυριακῇ ϛ. τοῦ τυφλοῦ· τ. κ. ἐ. παράγων ὁ ἰησοῦς εἶδεν.

ἵνα βάλωσιν ἐπ' αὐτὸν] ἵνα λιθάσωσιν αὐτόν. E. Orig. v. P.

διελθὼν — οὕτω.] — E. v. P. Euth. 114. 193. 194. Caten. Cord. p. 245. fin. Theophyl. 691. c. Cyrillus quidem omitit IV, 586. sed 1051. d. ita refert: καὶ γοῦν ἠθέλησαν αὐτὸν πιάσαι, καθά φησιν ὁ εὐαγγελιστὴς, ἀλλ' ἐξελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆλθεν οὕτως, τὸ δὲ οὕτως φασὶν ἀντὶ τοῦ, οὐχ ὑπεσταλμένως, οὐ περιδεὴς κ. τ. λ., Cur autem supra ista non recitaverat? Forte quia Origenem aut Chrysostomum, non evangelium, inspexerat. Habet idem II. 443. c. καθά φησιν ὁ μακάριος εὐαγγελιστής· ἐπορεύετο διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτω, τουτέστι, (ἐν forte addendum) παρρησιαστικῶς. Non ergo huc translata sunt ex Luc. 4, 30.

IX, 1. παράγων] + ὁ ἰησοῦς. E. v. P. Multa hoc capite turbavit Chrys. non nulla etiam Cyrill. Ut Chrys. hic addit, ὁ ἰησοῦς; ita et vers. 6.

γενετῆς] γεννητῆς ł γεννητῆς ł γενητῆς. E. v. Eustath. ad Odyss. Σ. pag. 1834. Apud Aet. cap. 38. ἀγκυλόγλωσσοι memorantur ἐκ γενετῆς et ἐκ πάθους.

3. ὁ ἰησοῦς] ὁ — De Chrys. v. P.

4. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι.

5. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου.

6. ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ.

7. καὶ εἶπεν αὐτῷ· ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ σιλωάμ, ὃ ἑρμηνεύεται, ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων.

8. οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι τυφλὸς ἦν, ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν;

9. ἄλλοι ἔλεγον· ὅτι οὗτός ἐστιν· ἄλλοι δέ· ὅτι ὅμοιος αὐτῷ ἐστιν· ἐκεῖνος ἔλεγεν· ὅτι ἐγώ εἰμι.

10. ἔλεγον οὖν αὐτῷ· πῶς ἀνεῴχθησάν * σοι οἱ ὀφθαλμοί;

11. ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν· ἄνθρωπος, λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ

μου

4. ἐμὲ — με] ἡμᾶς — ἡμᾶς. E. Cyrill. IV, 599. V, a. 630. Alia hic turbat Orig. III, 201. f. et 201. v. etiam P.

6. ἐπέχρισε] ἐπέχρισεν αὐτοῦ. E.

8. τυφλὸς] προσαίτης N. K. V. P. Euth. 115. Erasmus interim ex vulgata latina hoc reddiderat πτωχός. Sed hoc est partes impostoris agere, non critici.
καθήμενος] Chrys. VIII, 353. c. vidit eum sedentem πρὸς τὰς θύρας τοῦ ἱεροῦ.

10. σοι οἱ] σου οἱ.

ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν· εἰ ἁμαρτω- 25.
λός ἐςιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν,
ἄρτι βλέπω.
εἶπον δὲ αὐτῷ πάλιν· τί ἐποίησέ σοι; πῶς 26.
ἤνοιξέ σου τοὺς ὀφθαλμούς·
ἀπεκρίθη αὐτοῖς· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ 27.
ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ
ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;
ἐλοιδόρησαν * αὐτὸν καὶ εἶπον· σὺ εἶ μαθη- 28.
τὴς ἐκείνου, ἡμεῖς δὲ τοῦ μωυσέως ἐσμὲν μα-
θηταί.
ἡμεῖς οἴδαμεν ὅτι μωυσῇ λελάληκεν ὁ θεός· 29.
τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐςίν.
ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· ἐν 30.
γὰρ τούτῳ θαυμαςόν ἐςιν, ὅτι ὑμεῖς οὐκ
οἴδατε πόθεν ἐςὶ, καὶ ἀνέῳξέ μου τοὺς
ὀφθαλμούς.
οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει· 31.
ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα
αὐτοῦ ποιῇ, τούτου ἀκούει.
ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις 32.
ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου.
εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο 33.
ποιεῖν οὐδέν.

ἀπε-

25. οὖν] — D.
26. ἤνοιξε] ἀνέῳξε. D. v. verſ. 30. 32.
28. οὖν] —
32. ἐκ τοῦ] ἀπὸ τοῦ. E. Modo ἐκ, modo ἀπό. Chryſ. VIII, 326. c. 341. a. 453. e.
33. παρὰ θεοῦ] θεοσεβής. E. ex verſ. 31. v. P.

34. ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· ἐν ἁμαρτίαις
σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;
καὶ ἐξέβαλον αὐτὸν ἔξω.

35. ἤκουσεν ὁ ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω·
καὶ εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς
τὸν υἱὸν τοῦ θεοῦ;

36. ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε * καὶ τίς ἐστι,
κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;

37. εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς· καὶ ἑώρακας αὐτὸν,
καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν.

38. ὁ δὲ ἔφη· πιστεύω, κύριε· καὶ προσεκύνησεν
αὐτῷ. [Τέλος.]

ΛΕ. 39. καὶ εἶπεν ὁ ἰησοῦς· [Ἀρχή.] εἰς κρίμα ἐγὼ
εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέ-
ποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ
γένωνται.

καὶ

IX, 39. ΛΕ. τῇ ε. τῆς ε. ἑβδ. ἑ. ὁ κ. πρὸς τοὺς ἐληλυθό-
τας πρὸς αὐτὸν ἰουδαίους· εἰς κρίμα.

34. ὅλος] ὅλως. E. Vulg. Chryſ. VIII, 339. c. ſed Euth.
interpretatur, τὴν ἀρχήν. Ergo vere ὅλως legit.

ἔξω] ἐκ τοῦ ἱεροῦ. E. v. P. Ex hoc eſt, ἔξω τοῦ
ἱεροῦ. Theophyl. 702. d.

35. τοῦ θεοῦ] τοῦ ἀνθρώπου. E. Codd. Chryſ. variant.
v. VIII, 339. a. 344. c. 345. a. bis. b. c. Cyrill.
hunc verſum non ſolum habet IV, in interpret. ſed
et V, a. 703. V, c. 183. V, d. 31. VI, a. 57.

36. τίς ἐστι] καὶ τίς ἐστι.

39. τοῦτον] — E. v. Orig. III, 691. 712. IV, 396. I, 722.
II, 119. ex quibus locis ſaltem apparet, τοῦτον ab
eo ſervari. Frequenter laudatur etiam hic verſ. a
Cyrillo et Chryſ.

καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ 40.
ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ· μὴ καὶ
ἡμεῖς τυφλοί ἐσμεν;
εἶπεν αὐτοῖς ὁ ἰησοῦς· εἰ τυφλοὶ ἦτε, οὐκ ἂν 41.
εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε· ὅτι βλέπο-
μεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.
[Ἀρχή.] Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσ- X, 1. ΛΕ.
ερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν
προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν,
ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής·
[Ἀρχή.] ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, 2. ΛΕ.
Τέλος ἔντισι τῆς ι. ποιμήν ἐστι τῶν προβάτων. [Τέλος.]
τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα 3.
τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρό-
βατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά.
καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπρο- 4.
σθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα
αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ.
ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ 5.
Ὑπέρβα τῆς φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν
κα. καὶ τῆς ἀλλοτρίων τὴν φωνήν. [Ὑπέρβα.]
ιβ.

ταύτην

X, 1. ΛΕ. τῇ κα. μαΐου, τοῦ ἁγίου κωνσταντίνου καὶ ἑλέ-
νης. καὶ τοῦ ἁγίου ἰωάννου τοῦ χρυσοστόμου, εἰς τὸν
ὄρθρον. καὶ εἰς τοὺς ὄρθρους τῶν ἱεραρχῶν· [ἐν ἄλ-
λοις, καὶ τῇ ιδ. νοεμβρίου, τῶν ἁγίων ἰουστινιανοῦ
καὶ θεοδώρας.] εἶ. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς
αὐτὸν ἰουδαίους· ἀμὴν ἀμήν.

X, 2. ΛΕ. μαΐου ιβ. τοῦ ἁγίου ἐπιφανίου ἀρχιεπισκό-
που κωνσταντινουπόλεως· εἶ. ὁ κ. πρὸς τοὺς πεπιστευ-
κότας αὐτῷ ἰουδαίους· ὁ εἰσερχόμενος.

X, 3. καλεῖ] φωνεῖ. E.

6. ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ ἰησοῦς·
ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐ-
τοῖς. [Τέλος.] Τέλος ἐν τισι τῆς ι.
7. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ ἰησοῦς· ἀμὴν ἀμὴν
λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβά-
των.
8. πάντες ὅσοι * ἦλθον, κλέπται εἰσὶ καὶ λῃ-
σταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Τέλος ἐν τισι
[Τέλος.] τῆς κα.
ΛΣ. 9. [Ἄρξου.] [Ἀρχή.] ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ Ἄρξου τῆς
ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται κα. καὶ τῆς
καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. [Τέλος.] ιβ. Τέλος τῆς ιζ
καὶ τῶν ἁγί-
ων.

X. 9. ΛΣ. εἰς τὴν μνήμην τοῦ ἁγίου ἰωάννου τοῦ χρυσο-
στόμου καὶ εἰς ἱεράρχας. ἐν ἄλλῳ· σεπτεμβρίου γ.
τοῦ ἁγίου ἀνθίμου· ι. ὁ κ. πρὸς τοὺς ἐληλυθότας
πρὸς αὐτὸν ἰουδαίους· ἐγώ εἰμι.

6. ἀκολουθήσωσι] ἀκολουθήσουσι, E. Rursus coniunctivus, ante indicativum et ἀλλά, temere mutatus. Plura iam exempla memoravi.

8. ὅσοι πρὸ ἐμοῦ] πρὸ ἐμοῦ —. Semina huius lectionis spargit Chryſ. VIII, 346. d. 348. d. quem locum vide propter interpretationem. Apud Cyrill. IV, 640. legitur quidem in textu, ſed ibid. e. in interpret. omittitur, nec horum verborum ibi ullum eſt veſtigium. Omittit Theophyl. 707. ex quo ſimul apparet, nec Manichaeos his uſum eſſe verbis, cum tamen ipſorum faverent opinioni. v. P. Euth. 195. ſeq. III, 364. πρὸ ἐμοῦ habet Orig. I, 744. III, 303. IV, 44. modo ante, modo poſt ἦλθον.

εἰσι] ἦσαν. E. Ita debebat eſſe. Ergo ſic correctum. Multa iam huiusmodi exempla in hoc ipſo evangelio notata ſunt. v. P. Servat ἐστὶν etiam Orig. I, 744. etc. Sed idem l. l. mox habet ἤκουσαν et ἤκουσαν.

ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ 10.
θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν
ἔχωσι, καὶ περισσὸν ἔχωσιν.

ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς 11.
τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβά-
των·

ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ 12.
εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρ-
χόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύ-
γει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορ-
πίζει τὰ πρόβατα.

ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, 13.
καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων.

ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ 14.
ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν.

ϛ. γ. καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω 15.
τὸν πατέρα· καὶ τὴν ψυχήν μου τίθημι
ὑπὲρ τῶν προβάτων.

ϛΑ. δ. καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς 16.
αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ
Τέλος τῶν τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία
ἱεραρχῶν. ποίμνη, εἷς ποιμήν. [Τέλος.]

ϛΒ. ι. [Ἀρχή.] διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, 17. ΛΖ.
ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν
λάβω αὐτήν.

οὐδεὶς

Κ, 17. ΛΖ. τῇ ϛ. τῆς ε. ἑβδ. ε. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· διὰ τοῦτο.

16. γενήσεται] ἔσται 1 ἔνεσται 1· γενήσονται. E. ν. P. Orig. III, 147. c.

18. οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθη-
μι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι
αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐ-
τήν. ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ
πατρός μου.

19. σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς ἰουδαίοις
διὰ τοὺς λόγους τούτους.

20. ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν· δαιμόνιον ἔχει
καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;

21. ἄλλοι ἔλεγον· ταῦτα τὰ ῥήματα οὐκ ἔστι
δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν
ὀφθαλμοὺς ἀνοίγειν;

ΛΗ. 22. [Ἀρχή.] ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν * ἱεροσο-
λύμοις, καὶ χειμὼν ἦν·

23. καὶ περιεπάτει ὁ ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ
στοᾷ σολομῶνος.

24. ἐκύκλωσαν οὖν αὐτὸν οἱ ἰουδαῖοι, καὶ ἔλεγον
αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ
σὺ εἶ ὁ χριστός, εἰπὲ ἡμῖν παῤῥησίᾳ.

ἀπε-

X, 22. ΛΗ. εἰς ἐγκαίνια ναοῦ [ἐν ἄλλοις· δεκεμβρίου κγ.] τ. κ. ἐ. ἐγένετο τὰ ἐγκαίνια ἐν ἱεροσολύμοις.

22. ἐν τοῖς ἱεροσολύμοις] τοῖς —. Ut ex probatis Codd. intelligitur, Ioannes iſtud modo addit, modo omittit.

23. στοᾷ τοῦ] τοῦ —

24. τὴν ψυχὴν ἡμῶν αἴρεις;] Nimirum, ut Iudaei hoc accipiebant, λόγων ἀσαφείᾳ καὶ ἀμφιβολίᾳ. Quia verſ. 18. diverſo ſenſu eſt, αἴρει τὴν ψυχὴν ἀπ' ἐμοῦ, de hoc non nulli dubitarunt. Igitur Griesbachus, vir graece doctus, pag. 495. nota h. edit. [illegible] noviſſ

ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς· ἔιπον ὑμῖν, καὶ ὀυ 25.
πιςέυετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνό-
ματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ
ἐμοῦ·
ἀλλ' ὑμεῖς ὀυ πιςέυετε· ὀυ γάρ ἐςε ἐκ τῶν 26.
προβάτων τῶν ἐμῶν, καθὼς ἔιπον ὑμῖν.
Ἄρξου τοῦ ἁγίου κωνσταντίνου. [Ἄρξου.] [Ἀρχή.] τὰ πρόβατα τὰ ἐμὰ 27. ΛΗ.
τῆς φωνῆς μου ἀκόυει, κἀγὼ γινώσκω αὐτὰ,
καὶ ἀκολουθοῦσί μοι·

κἀγὼ

X, 27. ΛΗ. σαββάτῳ ε. ἑ. δ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· τὰ πρόβατα.

noviſſ. addit: ἀιώρεις. Coniect. Marklandi. Marklandi liber nunc non erat ad manus. Quoniam tamen Griesbachus, cum vir s doctos ſpoliatum exit, medio meridie, πρὸς δὲ καὶ λαμπαδούχοῦντες καὶ δᾳδουχοῦντες Λουκιφέρου τοῦ ἡλιομόρφου, ſcalas applicat, facile intelligebam, hoc non ex Marklando, ſed ex libello (Konjekturen über das N. Teſt. von Schulz. Leipzig 1774. Seite 207.) huc translatum eſſe. Fraudi ergo ei fuit, quod ibi litteris maiusculis ΑΙΩΡΕΙΣ, ſine ſpiritu et accentu, legitur. Ex ἀιωρεῖς ergo vir graece doctus fecit ἀιώρεις. Marklandum ſemper magni feci. Sed ab iſta coniectura abſtinere ſe debebat, cum ſatis notum ſit, ἀιρεῖν habere duas diverſas notiones, ἀφανίζειν et ὑψοῦν. Sufficit, praetermiſſis grammaticis graecis et exemplis auctorum, ſolum Sophoclis notare ſcholiaſtam p. 70. edit. Steph. Quae loca Marklandus laudarit, ignoro. Sed ἀιωρεῖσθαι τὴν ψυχὴν apud Xenoph. edit. Leuncl. p. 978. b. ab hoc loco alienum eſt.

25. πιςέυετε] ἐπιςεύσατε. E. Correct. e graecismo. Vulg. Cyrill. I, g. 381. V, d. 138. Nam IV, 664. hic quaedam omiſſa ſunt a ſcriba, notata per καὶ τὰ ἑξῆς.

26. ὀυ γὰρ] ὅτι ὀυκ. E.

28. κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, [Τέλος.] Τέλος τῶν β.
καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ
οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου.
29. ὁ πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων
ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χει-
ρὸς τοῦ πατρός μου.
30. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. [Τέλος.] Τέλος ἔν τισι
31. ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα τῶν ἐγκαι-
λιθάσωσιν αὐτόν. νίων.

ἀπε-

27. ἀκούει] ἀκούουσι. E. v. Orig. IV, 251. (ubi lepida eſt disputatio de ἀκούει et ἀκούουσι.) III, 237.

29. ὃς δέδωκέ μοι, μείζων] ὃ δέδωκέ μοι μεῖζον. E. v. Mill. Euth. 196. P. Pro, ὃ δέδωκε, laudatur etiam Cyrill. Sed eius ad h. l. commentarius intercidit et in editione ſuppletus eſt ex catena aliqua. In his nihil inveni. v. IV, 666. Iam cum res incerta eſſet de Cyrillo, ii, qui profeſſi fuerant, N. Teſtamentum emendare ex Patribus, alium locum veri Cyrilli quaerere debebant, ex quo certi fierent. Eiusmodi locus eſt V, a. 326. d. Ibi totum locum hac ſola varietate recitat, ἁρπάσαι, loco ἁρπάζειν, inferens. Ibi eſt etiam interpretatio: ὁ πάντων μείζων ἐστὶν ὁ πατὴρ κ. τ. λ. Vide etiam I, a. 188. ubi tamen ἔδωκε, ſed ἁρπάζειν. II, 567. III, 792. et V, a. 577. ſine ulla varietate. Viri ergo docti h. l. non debebant hariolari, aut indices Cyrilli conſulere, ſed Cyrillum ipſum legere. Quilibet vero hic intelligit, eſſe hanc corruptionem Latiniſtarum dogmaticam furtim ac perfidioſe illatam verbis Apoſtoli. Haeccine eſt iſta orthodoxia? Fraudem ergo etiam moliri licet? Multa de hoc loco disputata reperies in Panoplia Euth. Zigab. Ridicule, ut ſolet, haec verſat Orig. III, 244. a. b. Utitur autem hoc loco ad interpretandum Ier. 18, 3. δείκνυσι τὸ σκεῦος ἀπὸ τῶν χειρῶν τοῦ κεραμέως. O divinum ingenium!

ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς· πολλὰ καλὰ ἔργα 32.
ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου· διὰ ποῖον
αὐτῶν ἔργον λιθάζετέ με;

ἀπεκρίθησαν αὐτῷ οἱ ἰουδαῖοι λέγοντες· περὶ 33.
καλοῦ ἔργου ὀυ λιθάζομέν σε, ἀλλὰ περὶ
βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς
σεαυτὸν θεόν.

ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς· ὀυκ ἔστι γεγραμμέ- 34.
νον ἐν τῷ νόμῳ ὑμῶν· ἐγὼ εἶπα, θεοί ἐστε;

ἐι ἐκείνους εἶπε θεοὺς, πρὸς ὅυς ὁ λόγος τοῦ 35.
θεοῦ ἐγένετο, καὶ ὀυ δύναται λυθῆναι ἡ
γραφή·

ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν 36.
κόσμον, ὑμεῖς λέγετε· ὅτι βλασφημεῖς, ὅτι
εἶπον, ὑιὸς τοῦ θεοῦ ἐιμι;

ἐι ὀυ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ 37.
πιστεύετέ μοι·

ἐι δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις 38.
πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν
ἐμοὶ ὁ πατὴρ, κἀγὼ ἐν αὐτῷ. [Τέλος.]

Τέλος τοῦ σαββάτου.

[Ἀρχή.]

33. σεαυτὸν] ἑαυτόν. D. v. Euth. I, 672. 673. Meos Codices accurate examinavi. Alii fortaſſe hoc, ut contrarium linguae graece, repudiarunt. Laudo!

36. υἱὸς τοῦ] τοῦ — E. Variat ſane in hoc et in aliis pluribus huius verſ. Chryſ. ut dixi, VIII, 364. Sed ſine varietate 236. c., quem locum ἐν τῇ μεγάλῃ παρασκευῇ non potuerat reperire Griesbachius. Sine varietate habet Orig. IV, 23.

38. ἐν αὐτῷ] ἐν τῷ πατρί. E. Pro eo Griesb. oblitus eſt laudare Orig. II, 759. a.

ΛΗ. 39. [Ἀρχή.] ἐζήτουν οὖν πάλιν αὐτὸν πιάσαι· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.

40. καὶ ἀπῆλθε πάλιν πέραν τοῦ ἰορδάνου, εἰς ΣΓ. δ.
τὸν τόπον ὅπου ἦν ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ.

41. καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον· ΣΔ. ι.
ὅτι ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ ὅσα εἶπεν ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν.

42. καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν. [Τέλος.] Τέλος τῆς ιβ. καὶ ἐν τισι τοῦ σαββάτου.

ΙΑ. περὶ τοῦ λαζάρου.

XI, 1. [Ἀρχή.] Ἦν δέ τις ἀσθενῶν λάζαρος ἀπὸ
ΛΘ. βηθανίας, ἐκ τῆς κώμης μαρίας καὶ μάρθας τῆς ἀδελφῆς αὐτῆς·

ἦν

X, 39. ΛΗ. τῇ κβ. ἰαννουαρίου μεθεορτασίμου ἑβδομάδος. ἐζήτουν οἱ ἰουδαῖοι πιάσαι τὸν ἰησοῦν.

XI, 1. ΛΘ. σαββάτῳ ϛ΄ τῶν νηστειῶν ἤτοι τοῦ λαζάρου· τ. κ. ἐ. ἦν τις ἀσθενῶν.

39. ἐζήτουν οὖν] οὖν — t. ἠθέλησαν οὖν, omisso πάλιν. E. v. Chryſ. VIII, 364. d. In nullo libro ſcribae ita vexarunt particulas καὶ, δὲ, οὖν, πάλιν, quo ſaepius utitur Ioannes, quam in hoc evangelio. Modo temere inculcarunt, modo permutarunt, modo omiſerunt, modo transpoſuerunt. Accedunt interpretes, qui cum denuo locum aliquem tractant, illas particulas in principio modo addunt, modo omittunt.

40. εἰς τὸν τόπον] — E. Simili modo Chryſ. omittit mox: καὶ ἔμεινεν ἐκεῖ.

τὸ πρῶτον] τὸ πρότερον. E. Sic rectius dicebatur.

41. τούτου] αὐτοῦ. E. v. Euth. III, 394.

42. ἐκεῖ] — E. Primo omiſſum, deinde alieno loco inſertum. Diſerte hoc contra Chryſ. vindicat Theophyl. 717. b. Volutat hoc verbum etiam Chryſ. VIII, 364. e.

ἦν δὲ μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ, 2.
καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θρι-
ξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς λάζαρος ἠσθένει.
ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν, λέ- 3.
γουσαι· κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ.
ἀκούσας δὲ ὁ ἰησοῦς, εἶπεν· αὕτη ἡ ἀσθένεια 4.
οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης
τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι'
αὐτῆς.
ἠγάπα δὲ ὁ ἰησοῦς τὴν μάρθαν καὶ τὴν 5.
ἀδελφὴν αὐτῆς καὶ τὸν λάζαρον.
ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν 6.
ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας.
ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· 7.
ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν.
λέγουσιν αὐτῷ οἱ μαθηταί· ῥαββὶ, νῦν ἐζή- 8.
τουν σε λιθάσαι οἱ ἰουδαῖοι, καὶ πάλιν
ὑπάγεις ἐκεῖ;
ἀπεκρίθη * ἰησοῦς· οὐχὶ δώδεκά εἰσιν ὧραι 9.
τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ,
οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τού-
του βλέπει·
ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκό- 10.
πτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

ταῦτα

XI, 3. φιλεῖς] ἐφίλεις. B. Multa iam exempla huius corruptionibus notata sunt. Hic vero etiam absurda est corruptio.

4. δόξης] v. Euth. III, 396.

9. ἀπεκρίθη ὁ] ὁ —.

εἰσιν ὧραι] ὧραι εἰσίν. A.

11. ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς·
ΛΘ. [Ἀρχή.] λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· Ἀρχὴ ἐν
ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. τισι.
12. εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· κύριε, εἰ κεκοί-
μηται, σωθήσεται.
13. εἰρήκει δὲ ὁ ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ·
ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ
ὕπνου λέγει.
14. τότε οὖν εἶπεν αὐτοῖς ὁ ἰησοῦς παῤῥησίᾳ·
λάζαρος ἀπέθανε·
15. καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ
ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν.
[Ὑπέρβα.] Ὑπέρβα ἐν
16. εἶπεν οὖν θωμᾶς, ὁ λεγόμενος δίδυμος, τοῖς τισι.
συμμαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀπο-
θάνωμεν μετ' αὐτοῦ.
17. ἐλθὼν οὖν ὁ ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας
ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ.
18. ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱεροσολύμων, ὡς
ἀπὸ σταδίων δεκαπέντε.

καὶ

XI, 11. ΛΘ. ἐν τισιν ἐ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· λάζαρος.

18. Propter hunc verſum Origenes profectus eſt ad Iordanem. v. IV, 140. Inprimis ibi placent verba: διίκνυσθαι δὲ λέγουσιν. Ergo ſine oculis profectus erat, deinde: ἔστι τε ἡ ἐρημνία κ. τ. λ. Ergo ex etymologia dirimit lites geographicas. Concluſio Origenis eſt huiuscemodi: Wenn irgendwo erzählt wird, daſs ein *Loewe* ſey gefangen worden, ſo muſs es zu *Loewen* geſchehen ſeyn.

καὶ πολλοὶ ἐκ τῶν ἰουδαίων ἐληλύθεισαν 19.
πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν, ἵνα πα-
ραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐ-
τῶν.

Ἄρξου ἐν τισι. [Ἄρξου.] ἡ οὖν μάρθα ὡς ἤκουσεν ὅτι * 20.
ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· μαρία δὲ ἐν
τῷ οἴκῳ ἐκαθέζετο.
εἶπεν οὖν * μάρθα πρὸς τὸν ἰησοῦν· κύριε, εἰ 21.
ἧς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει.
ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν 22.
θεὸν, δώσει σοι ὁ θεός.
λέγει αὐτῇ ὁ ἰησοῦς· ἀναστήσεται ὁ ἀδελφός 23.
σου.
λέγει αὐτῷ μάρθα· οἶδα ὅτι ἀναστήσεται ἐν 24.
τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.
εἶπεν αὐτῇ ὁ ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις 25.
καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ
ζήσεται·
καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ 26.
ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο;
λέγει αὐτῷ· ναὶ κύριε· ἐγὼ πεπίστευκα ὅτι 27.
σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν
Τέλος ἐν τισι. κόσμον ἐρχόμενος. [Τέλος.]
καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε 28.
μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα·
ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε.

ἐκείνη

20. ὅτι ὁ] ὁ —
21. οὖν ἡ] ἡ —
ἐτεθνήκει] ἀπέθανε. E. ex verſ. 32.
25. εἶπεν] + οὖν t Al. E.

29. ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν.

30. οὔπω δὲ ἐληλύθει ὁ ἰησοῦς εἰς τὴν κώμην· ἀλλ᾽ ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ μάρθα.

31. οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ᾽ αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες· ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ.

32. ἡ οὖν μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ ἰησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν * αὐτοῦ εἰς τοὺς πόδας, λέγουσα αὐτῷ· κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός.

33. ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν,

34. καὶ εἶπε· ποῦ τεθείκατε αὐτόν; λέγουσιν αὐτῷ· κύριε, ἔρχου καὶ ἴδε.

ἐδά-

31. λέγοντες] δόξαντες. E. v. P. Eodem iure ex Cyrill. IV, 684. d. inferri poterat, οἰηθέντες. Ipſe quidem non ſcripſiſſem λέγοντες, ſed Ioannes ita ſcripſit. Scilicet in N. Teſt. λέγοντες, addito interdum ἐν ἑαυτοῖς, eſt *opinari*, *arbitrari*. Ergo interpretes h. l. recte reddiderunt δόξαντες, οἰηθέντες. Non ergo eſt lectionis varietas, ſed lectionis graecis inuſitatae interpretatio. v. Matth. 16, 7, 8. 3, 9. Id ergo Milſius, ut nunc video, voluit.

32. εἰς τοὺς πόδας αὐτοῦ] αὐτοῦ εἰς τοὺς πόδας.

33. καὶ ἐτάραξεν ἑαυτὸν] — E. v. Euth. 197. III, 409.

ἐδάκρυσεν ὁ ἰησοῦς. 35.
ἔλεγον ὄυν ὁι ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν. 36.
τινὲς δὲ ἐξ αὐτῶν ἔιπον· ὀυκ ἠδύνατο ὄυτος 37.
ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ,
ποιῆσαι ἵνα καὶ ὄυτος μὴ ἀποθάνῃ;
ἰησοῦς ὄυν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, 38.
ἔρχεται ἐις τὸ μνημεῖον· ἦν δὲ σπήλαιον, καὶ
λίθος ἐπέκειτο ἐπ' αὐτῷ.
λέγει ὁ ἰησοῦς· ἄρατε τὸν λίθον· λέγει αὐτῷ 39.
ἡ ἀδελφὴ τοῦ τεθνηκότος μάρθα· κύριε,
ἤδη ὄζει. τεταρταῖος γάρ ἐστι.
λέγει αὐτῇ ὁ ἰησοῦς· ὀυκ ἔιπόν σοι, ὅτι ἐὰν 40.
πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ;
ἦραν ὄυν τὸν λίθον, ὄυ ἦν ὁ τεθνηκὼς κείμε- 41.
νος· ὁ δὲ ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω,
καὶ ἔιπε· πάτερ, ἐυχαριστῶ σοι ὅτι ἤκουσάς
μου.
ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ 42.
διὰ τὸν ὄχλον τὸν περιεστῶτα ἔιπον, ἵνα πι-
στεύσωσιν ὅτι σύ με ἀπέστειλας.
καὶ ταῦτα ἐιπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε· 43.
λάζαρε, δεῦρο ἔξω.
καὶ ἐξῆλθεν ὁ τεθνηκὼς, δεδεμένος τοὺς πό- 44.
δας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις
αὐτοῦ

39. ἤδη et γὰρ servat Orig. IV, 367.

41. Orig. IV, 376. b. ex sic dicto *Orbe Picto* pag. 88. docet, *Lazari animam regressam esse in corpus* διὰ τοῦ τόπου, ὅθεν ἤρθη ὁ λίθος! Sagaciter!

αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει αὐτοῖς ὁ
ἰησοῦς· λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν.
45. πολλοὶ οὖν ἐκ τῶν ἰουδαίων οἱ ἐλθόντες πρὸς
τὴν μαρίαν καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ
ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. [Τέλος.] Τέλος τοῦ
46. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρι- λαζάρου.
σαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ ἰησοῦς.
M. 47. [Ἀρχή.] συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ
Φαρισαῖοι συνέδριον, καὶ ἔλεγον· τί ποιοῦμεν,
ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ;
48. ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν
εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ ῥωμαῖοι καὶ
ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.
49. εἷς δέ τις ἐξ αὐτῶν καϊάφας, ἀρχιερεὺς ὢν
τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ
οἴδατε οὐδέν·
50. οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν ἵνα εἷς
ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ
ὅλον τὸ ἔθνος ἀπόληται.

τοῦτο

XI, 47. M. τῇ β. τῆς ς. ἑβδ. καὶ τῷ ὄρθρῳ τῆς μεγάλης δ. καὶ σεπτεμβρίου ιβ. τ. κ. ἰ. συνήγαγον οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον. κατὰ τοῦ ἰησοῦ καὶ ἔλεγον.

44. λέγει αὐτοῖς] propter Matth. 4, 11. ἄγγελοι προσῆλθον, Origenes credit, hoc loco αὐτοῖς poſſe accipi de angelis. v. IV, 397. e. Poſſuntne haec hominis ſanae mentis occurrere cogitationibus?

45. οἱ ἐλθόντες] τῶν ἐλθόντων. E. v. Griesb. edit. ſecundam p. 41. tertiam pag. 503 et P.

48. καὶ τὸν τόπον καὶ τὸ ἔθνος] καὶ τὸ ἔθνος καὶ τὴν πόλιν. E. Chryſ. VIII, 386. e. compara 387. a. bis. 389. b. VII, 801. d.

50. διαλογίζεσθε] λογίζεσθε. E. v. P.

τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν· ἀλλὰ ἀρ- 51.
χιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευ-
σεν, ὅτι ἔμελλεν ὁ ἰησοῦς ἀποθνήσκειν ὑπὲρ
τοῦ ἔθνους,
κᾶὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα 52.
κᾶὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα
συναγάγῃ εἰς ἕν.
ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο 53.
ἵνα ἀποκτείνωσιν αὐτόν.
ϛΕ´. δ. ἰησοῦς οὖν οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν 54.
τοῖς ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν
χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς ἐφραὶμ λεγο-
Τέλος ἔν τισι μένην πόλιν, κἀκεῖ διέτριβε μετὰ τῶν μαθη-
τῆς β. τῶν αὐτοῦ. [Τέλος.]
ϛϚ. α. ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν ἰουδαίων· κᾶὶ 55.
ἀνέβησαν πολλοὶ εἰς ἱεροσόλυμα ἐκ τῆς χώ-
ρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς.
ϛΖ. ι. ἐζήτουν οὖν τὸν ἰησοῦν, κᾶὶ ἔλεγον μετ' ἀλ- 56.
λήλων ἐν τῷ ἱερῷ ἑστηκότες· τί δοκεῖ ὑμῖν;
Ὑπέρβα τῆς ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; [Ὑπέρβα.]
μεγάλης δ. δεδώκεισαν δὲ κᾶὶ οἱ ἀρχιερεῖς κᾶὶ οἱ Φαρι- 57.
σαῖοι ἐντολὴν, ἵνα ἐάν τις γνῷ ποῦ ἐστι, μη-
Τέλος τῆς β. νύσῃ, ὅπως πιάσωσιν αὐτόν. [Τέλος.]

Ὁ

51. ἔμελλεν ὁ] ὁ — v. P. de Chryſ. Similis confuſio eſt etiam ibi VIII, 389. b.

54. ἐφραὶμ] σαμφουρεὶν. Wetſt. D. σαμφουρεὶμ. Steph, β. v. Griesb. P. Huiuscemodi aliquid ex itinere videtur retuliſſe Orig. v. verſ. 18.

55. πρὸ τοῦ πάσχα] πρὶν τὸ πάσχα. E. Wetſt. D.

57. δεδώκεισαν] ἐδεδώκεισαν l. δεδώκασαν Codd. aliqui. δὲ καὶ οἱ] καὶ — E. Redundans et moleſtum erat.

XII, 1. Ὁ οὖν Ἰησοῦς [Ἀρχή.] πρὸ ἓξ ἡμερῶν τοῦ
ΜΑ. πάσχα ἦλθεν εἰς βηθανίαν, ὅπου ἦν λάζα-
ρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν.
2. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ μάρ- ϛΗ. α.
θα διηκόνει· ὁ δὲ λάζαρος εἷς ἦν τῶν * ἀνα-
κειμένων * σὺν αὐτῷ.

ΙΒ. περὶ τῆς αλειψάσης τὸν κύριον μύρῳ.

3. ἡ οὖν μαρία, λαβοῦσα λίτραν μύρου νάρδου
πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ
Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς
πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς
ὀσμῆς τοῦ μύρου.

ΙΓ. περὶ ὧν εἶπεν ἰούδας.

4. λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, ἰούδας
σίμωνος ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παρα-
διδόναι·
5. διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων
δηναρίων, καὶ ἐδόθη πτωχοῖς;

εἶπε

XII, 1. ΜΑ. κυριακῇ τῶν βαΐων, εἰς τὴν λειτουργίαν· πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν [ὁ] ἰησοῦς.

XII, 1. ὁ τεθνηκὼς] — E. Chryſ. VIII, 391. a. id excluſerat. Inepte *vulgatus* reddidit. Alii rectius: *erat, qui* fuerat mortuus. Hunc totum locum Chryſ. non ſolum l. l. ſed et XII, 687. d. ſeqq. tractat.

2. *μάρθα*] *μαρία*. E. Vulgatum etiam Orig. IV, 407. Sed, *καὶ ὁ λάζαρος εἷς ἦν ἐκ τῶν ἀνακ. σὺν αὐτῷ*. Hunc locum ergo non recte intuitus eſt Griesb. A Wetſtenio, inquit, ita acceperam.

συνανακειμένων] *ἀνακειμένων σύν*.

4. *σίμωνος ἰσκαριώτης*] *σίμων ὁ ἰσκαριώτης*. E. v. Euth. 197.

εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν 6.
ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ
γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβά-
σταζεν.
εἶπεν οὖν ὁ ἰησοῦς· ἄφες αὐτήν· εἰς τὴν ἡμέ- 7.
ραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό.
τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' 8.
ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.
ϟΘ. ι. ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν ἰουδαίων ὅτι 9.
ἐκεῖ ἐστι· καὶ * ἦλθον οὐ διὰ τὸν ἰησοῦν μόνον,
ἀλλ' ἵνα καὶ τὸν λάζαρον ἴδωσιν, ὃν ἤγειρεν
ἐκ νεκρῶν.
ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν 10.
λάζαρον ἀποκτείνωσιν·
ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν ἰουδαίων, 11.
καὶ ἐπίστευον εἰς τὸν ἰησοῦν.
Ρ. α. τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν 12.
ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται * ἰησοῦς εἰς
ἱεροσόλυμα,

ἔλαβον

6. εἶχε καὶ] ἔχων. E. v. P.

7. εἰς τὴν — τετήρηκεν] ἵνα εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τηρήσῃ. E. Difficultas lectionis peperit hanc multo difficiliorem et abſurdiorem lectionem, uti Grotius etiam arbitratur. v. interpretationem Euth. III, 425. Accedit, quod nullus bonus Codex hic aliquid mutat.

8. Solum ἐμὲ δὲ οὐ πάντοτε ἔχετε habet Chryſ. VIII, 392. a.

9. ἦλθεν] ἦλθον.

12. ὁ ἰησοῦς] ὁ —

13. ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον
εἰς * ἀπάντησιν αὐτῷ, καὶ ἔκραζον· ὡσαννὰ,
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου,
* βασιλεὺς τοῦ ἰσραήλ.

ΙΔ. περὶ τοῦ ὄνου.

14. εὑρὼν δὲ ὁ ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτὸ, ΡΑ. ζ.
καθώς ἐστι γεγραμμένον·
15. μὴ φοβοῦ, θύγατερ σιών· ἰδοὺ, ὁ βασιλεύς
σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου.
16. ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ ΡΒ. ι.
πρῶτον· ἀλλ' ὅτε ἐδοξάσθη ὁ ἰησοῦς, τότε
ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.

['Αρχή.]

13. φοινίκων] + καὶ τῶν ἐλαιῶν. E. de suo Chryſ. VIII, 395. d.

ὑπάντησιν] ἀπάντησιν t συνάντησιν. A. Ita plerumque Codd. in his variant. Sic variant etiam, quos noviſſime examinavi. Ἀπάντησιν praeferendum videtur. Cyrill. V, d. 114. e. ἀπάντησιν.

ὁ βασιλεὺς] ὁ —

14. ἐκάθισεν] ἐπεκάθισεν. E. Chryſ. VIII, 395. d.

ἐπ' αὐτὸ] ἐπ' αὐτῷ. E. v. P. Cyrill. V, a. 381. Sed verſ. 15. poſt ἔρχεται alia aſſuit ex Matth. 21, 5. vel potius Zachar. 9, 9. Prophetam pro Ioanne laudat etiam Chryſ. VIII, 395. e.

16. ἔγνωσαν] ᾔδεισαν. E. Chryſ. VIII, 396. a. Cyrill. V, d. 102. ab ταῦτα ad γεγραμμένα nihil mutat, niſi quod in principio δὲ omittit, quod ineptum erat ibi addere.

πρῶτον] πρότερον. E. Orig. v. P. et 10, 40. Ita frequenter graeci corrigere ſolent.

ὁ ἰησοῦς] ὁ — D.

[Ἀρχή.] ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' 17. ΜΑ.
αὐτοῦ, * ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ
μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν·
διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι 18.
Τέλος τῶν βαΐων. ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.
[Τέλος.]
Ἄρξου τῆς μεγάλης δ. [Ἄρξου.] οἱ οὖν Φαρισαῖοι εἶπον [Ἀρχή.] 19. ΜΒ.
πρὸς ἑαυτούς· θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε
οὐδέν; ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

ΙΕ. περὶ τῶν προσελθόντων ἑλλήνων.

ἦσαν δέ τινες ἕλληνες ἐκ τῶν ἀναβαινόντων, 20.
ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ·

οὗτοι

XII, 17. ΜΑ. ἐν τισί· τῇ ἁγίᾳ καὶ μεγάλῃ γ. [ἐν ἄλλῳ· δ.] εἰς τὴν παννυχίδα· τ. κ. ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετὰ τοῦ ἰησοῦ.

XII, 19. ΜΒ. τῇ γ. τῆς ϛ. ἑβδ. τ. κ. ἐ. συμβούλιον ἐποίησαν οἱ Φαρισαῖοι κατὰ τοῦ ἰησοῦ καὶ ἔλεγον [εἶπον] πρὸς [ἀλλήλους] ἑαυτούς· [θεωρεῖτε] ὅτι.

17. ὅτι τὸν] ὅτε τόν. Beza ipſe fatetur ad h. l. ὅτε a ſe illatum eſſe.

18. τοῦτο καὶ] καὶ — D.

ἤκουσε] ἤκουσαν. D.

19. ἑαυτοὺς] αὐτούς. E. Chryſ. VIII, 395. c. qui hic omnia turbat et pervertit, uti ex priore editione mea conſtat. Sed attendendum eſt ad totum locum.

ὠφελεῖτε] ὠφελεῖται t ὠφελεῖ. E. Cyrill. I, g. 231. ὠφελεῖ — κόσμος ὅλος ὀπίσω. Euth. ad Pſ. 88, 22. edit. Venet. p. 191. hunc locum laudans, ὠφελεῖτε recte interpretatur ἀνύετε.

κόσμος] + ὅλος. E.

ἀπῆλθεν] ὑπάγει. E. Chryſ. VIII, 396. a.

21. οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθ-
σαϊδὰ τῆς γαλιλαίας, καὶ ἠρώτων αὐτὸν,
λέγοντες· κύριε, θέλομεν τὸν ἰησοῦν ἰδεῖν.

22. ἔρχεται Φίλιππος καὶ λέγει τῷ ἀνδρέᾳ· καὶ
πάλιν ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ
ἰησοῦ·

23. ὁ δὲ ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· ἐλήλυ- ΡΓ. δ.
θεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.

ΜΒ. 24. [Ἀρχή.] ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ ΡΔ. ι.
κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθά-
νῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πο-
λὺν καρπὸν φέρει.

ΜΒ. 25. [Ἀρχή.] ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπο- ΡΕ. γ.
λέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ
ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει
αὐτήν.

26. ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω· καὶ ΡϚ. ι.
ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς
ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν Ὑπέρβα τοῦ
ὁ πατήρ. [Ὑπέρβα.] ἁγίου.

νῦν

XII, 24. ΜΒ. εἰς σχῆμα μοναχοῦ καὶ εἰς τὸν ἅγιον πολύκαρπον· ἰ. ὁ κ. ἀμὴν ἀμὴν λέγω. Ἐν ἄλλοις· ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν μή.

XII, 25. ΜΒ. εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων σεπτεμβρίου ιγ. ἰ. ὁ κ. ὁ φιλῶν.

21. ἠρώτων] ἠρώτησαν. E. Theophyl. 738. d. e. Ita alibi ſolet eſſe in N. Teſt.

25. μισῶν] ἀπολέσας. E. Vulg. Orig. I, 299.

26. ἔσται] Ita etiam Orig. IV, 29.
τιμήσει] ἀγαπήσει. E. Chryſ. VIII, 401. b. Idem hoc verſu ex Matth. 16, 24. infert: ἀράτω τὸν σταυρὸν αὐτοῦ.

ΡΖ. δ. νῦν ἡ ψυχή μου τετάρακται· καὶ τί εἴπω; 27.
πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλ-
λὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.
ΡΗ. α. [Ἀρχή.] πάτερ, δόξασόν σου τὸ ὄνομα. ἦλθεν 28. MB.
οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· καὶ ἐδόξασα, καὶ
πάλιν δοξάσω.
ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε 29.
βροντὴν γεγονέναι. ἄλλοι ἔλεγον ἄγγελος
αὐτῷ λελάληκεν.
ἀπεκρίθη * ἰησοῦς καὶ εἶπεν· οὐ δι' ἐμὲ αὕτη 30.
ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς.
νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρ- 31.
χων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω·
κἀγὼ ἐὰν ὑψωθῶ ἐκ * τῆς γῆς, πάντας 32.
ἑλκύσω πρὸς ἐμαυτόν.

τοῦτο

XII, 28. MB. τῷ ὄρθρῳ [ἑωθινόν.] τῆς ὑψώσεως· ἑ. ὁ κ. πάτερ, δόξασόν σου. ἐν ἄλλῳ· τ. κ. ἑ. ἐπάρας ὁ ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπε· πάτερ.

28. τὸ ὄνομα] τὸν υἱόν. E. Utrumque ex Cyrill. laudat Wetst. et ex eo Griesb. Ubi locorum? Scilicet IV, 705. b. Sed ista altera γραφὴ est Io. XVII, 1. δόξασόν σου τὸν υἱόν. v. P. Eodem modo Cyrill. habet τὸν υἱόν V, d. 175. d.

30. ὁ ἰησοῦς] ὁ —

31. ἐκβλ. ἔξω] κάτω βληθ. E. v. P. Orig. II, 613. vulg. Nam ἐμβλ. est vitium typogr.

32. ἐκ] + τῆς.

πάντας] πάντα. E. Multoties vers. 31. et 32. habet Cyrill. Sed ista loca omnia adferre nequeo. Sufficit IV, 855. c. ubi ab νῦν ad ἐμαυτὸν sine varietate habet.

33. τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

34. ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις· * δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;

35. [Ἄρξου.] εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ᾽ ὑμῶν ἐστι. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ, καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. Ἄρξου τοῦ ἁγίου.

ΜΓ. 36. [Ἀρχή.] ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. [Τέλος.] ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ᾽ αὐτῶν. Τέλος πάντων.

τοσ-

XII, 36. ΜΓ. τῇ δ. τῆς ϛ. ἑβδ. ἑ. ὁ κ. πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους· ἕως τὸ φῶς.

34. ὅτι δεῖ] ὅτι —

35. μεθ᾽ ὑμῶν] ἐν ὑμῖν. E.

ἕως] ὡς. E. Cyrill. IV, 72. Id Wetst. et ex eo Griesb. notavit, nimirum hoc versu solum. Incipiamus iam a volumine primo. ἕως ergo habet. I, a. 109. 270. I, g. 226. ibid. 340. ἕως οὗ τὸ φῶς. Sufficit hoc. Satis enim apparet, Cyrillum sibi repugnare ac magis confirmare vulgatum. Novem reliquos locos praetermitto.

36. ἕως] nullus bonus Cod., atque ex meis nullus omnino, nec ex iis, quos postremo examinavi, hoc versu varietatem habet.

πιστεύετε εἰς τὸ φῶς] περιπατεῖτε εἰς τὸ φῶς. E. Chrys. VIII, 406. e.

τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμ- 37.
προσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν·
ἵνα ὁ λόγος ἡσαΐου τοῦ προφήτου πληρωθῇ. 38.
ὃν εἶπε· κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν,
καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη;
ρθ. α. διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν 39.
εἶπεν ἡσαΐας·
τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ 40.
πεπώρωκεν αὐτῶν τὴν καρδίαν· ἵνα μὴ ἴδωσι
τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ,
καὶ ἐπιστραφῶσι, καὶ * ἰάσομαι αὐτούς.
ρι. ι. ταῦτα εἶπεν ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐ- 41.
τοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ.
ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ 42.
ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς φαρι-
σαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγω-
γοι γένωνται.
ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων 43.
μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ.

ἰησοῦς

39. διὰ τοῦτο] Cyrill. IV, 709. c. εἰκὸς, ὅτι ὁ εὐαγγελιστὰς τῇ ἑβραίων ἐκδόσει (nunc appellant, *recensiones*) ἀκολουθήσας, ἑτέρως ἐχούσῃ παρὰ τὴν τῶν ἑβδομήκοντα, εἶπε τό· διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ἐπειδὴ ἐτύφλωσεν αὐτούς. Eruditam esse hanc animadversionem, video: nec tamen eam intelligo. Consolor interea ὀψιμαθίαν meam, quod alii apud Cyrillum hic prorsus nihil viderunt. Quae hic inter se miscuerit Chrys. v. VIII, 406. b. 407. c.

40. ἰάσωμαι] ἰάσομαι.

41. ταῦτα κ. τ. λ.] Cyrill. V, a. 642. nominatim: ταῦτα δὲ εἶπεν ἡσαΐας, ἡνίκα εἶδε.

43. ἤπερ] v. Euth. 198.

44. Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· ὁ πιστεύων εἰς ΡΙΑ. α.
ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμ-
ψαντά με.

45. καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με.

ΜΓ. 46. [Ἀρχή.] ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ΡΙΒ. ι.
ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ Ἀρχὴ ἐν
μείνῃ. τισι.

47. καὶ ἐάν τις μου ἀκούσῃ τῶν ῥημάτων καὶ
μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλ-
θον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω
τὸν κόσμον. [Τέλος.] Τέλος τῆς δ.

48. ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήμα-
τά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος
ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχά-
τῃ ἡμέρᾳ.

49. ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ
πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε
τί εἴπω καὶ τί λαλήσω.

XII, 46. ΜΓ. ἐν τισιν· ἐ. ὁ κ. ἐγώ.

49. ἐξ — ἔδωκε] ἀπ' — δέδωκε. E. Ita ex Cyrill. Wetst. et ex eo Griesb, Apud Cyrill. IV, 715. est. ἐξ — δέδωκε. I, a. 50. 74. I, g. 382. III, 830. 850. ἀπ' ἐμαυτοῦ οὐ λαλῶ — δέδωκε. Sic, sed ἔδωκε. III, 98. ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα — δέδωκε V, a. 401. V, d. 127. Nonne hoc ridiculum? ἀπ' et δέδωκε notarunt, ἐξ, ἔδωκε et λαλῶ non notarunt. Quid vero ex his locis efficitur? Auctoritatem bonorum Codd. N. T. esse superiorem Patribus omnibus. Nolo hic memorare, Wetstenium adeo mentitum esse.

ἐλάλησα] λαλῶ t ἐλήλυθα. E. Cyrill. l. l. Chrys. VIII, 410. a.

καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός 50.
ἐστιν. ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ
Τέλος ἔν τισι πατὴρ, οὕτω λαλῶ. [Τέλος.]
τῆς μεγάλης δ. καὶ τῆς μεγάλης γ. ['Αρχή.] Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, XIII, 1.
εἰδὼς ὁ ἰησοῦς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα ΜΔ.
μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς·
ΡΙΓ. θ. καὶ δείπνου γενομένου, τοῦ διαβόλου ἤδη βε- 2.
βληκότος εἰς τὴν καρδίαν ἰούδα σίμωνος ἰσκαριώτου, ἵνα αὐτὸν παραδῷ·
ΡΙΔ. γ. ['Αρχή.] ['Αρξου.] εἰδὼς ὁ ἰησοῦς ὅτι πάντα 3. ΜΔ.
Ἄρξου τῆς μεγάλης ε. ἕως τοῦ· ἐὰν ποιῆτε αὐτά. δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν θεὸν ὑπάγει·

13. περὶ

XIII, 1. ΜΔ. εὐαγγέλιον α. τοῦ νιπτῆρος· [τ. κ. ἐ.] πρὸ τῆς ἑορτῆς τοῦ πάσχα. [v. Orig. IV, 405. c.]
XIII, 3. ΜΔ. εὗρον καὶ τοῦτο τὸ ἀνάγνωσμα ἔν τισι· τ. κ. ἐ. εἰδὼς, ἕως, οὐχὶ πάντες καθαροί ἐστε.

XIII, 1. ἐλήλυθεν] ἦλθεν. E. Chryſ. VIII, 412. 413.
2. γενομένου] γινομένου. E.

βεβληκότος] ex Latiniſtis Griesb. notat: *cum ſe miſiſſet*, ſeu, *ſe immiſiſſet*. Cui vero ignotum, βάλλειν ἐν θυμῷ et alia huiusmodi?

ἰούδα — παραδῷ] ἵνα παραδῷ αὐτὸν ἰούδας σίμωνος ἰσκαριώτης. E. v. P.

3. εἰδὼς] Quid hic de evangeliariis in priore editione dixerat Griesbachius? Nihil. Unde ergo ei in ultima edit. iſta ſapientia? Scilicet, ut antea in aliis Wetſtenii editionem ſpoliaverat, ita in noviſſima editione ſua meam. Hoc enim ei proprium, ut alienis ſe plumis ornet. Ab mea Conſtantinopolitana recenſione abſtinere ſe debebat. Quod autem

ιε. περὶ τοῦ νιπτῆρος.

4. ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμά- ριε. ι.
τια, καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν·
5. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρ-
ξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ
ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.
6. ἔρχεται οὖν πρὸς σίμωνα πέτρον· καὶ λέγει
αὐτῷ ἐκεῖνος· κύριε, σύ μου νίπτεις τοὺς
πόδας;
7. ἀπεκρίθη ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὃ ἐγὼ ποιῶ,
σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα.

λέγει

tem lectionaria non nulla ante εἰδὼς addunt: πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, id tamen non animadvertit, etsi de eo monueram p. 14.

ὁ ἰησοῦς] — E.

δέδωκεν αὐτῷ] ἔδωκεν αὐτῷ. E. v. P. αὐτῷ παρέδωκεν Chryſ. Id poſtulabat παράδοσις. v. VIII, 414. a. b. Unde vero hoc? ex Matth. 11, 27. Sic etiam repetit Theophyl. 751. aliquoties. v. Montf. ad hunc Chryſoſtomi locum. Cyrill. V, b. 395. c. confundit locos ſimiles.

4. ἐγείρεται] v. P. Euth. I, 1010.

διέζωσεν] διεζώσατο. E. v. P. Vulgatum Cyrill. V, b. 375. ſed ἱμάτια αὐτοῦ, et verſ. 5. μαθητῶν αὐτοῦ. Clem. Alex. 161. d. huc reſpiciens habet σαβάνῳ περιζωσάμενος.

5. Orig. IV, 411. a. interrogat, cur non dixerit ἔνιψε, ſed ἤρξατο νίπτειν. Reſponſio eſt lectu digna. Chryſ. vero VIII, 415. a. argute demonſtrat, Iudam proditorem primo lotum eſſe. Sic et Theophyl. 752. a. Euth. III, 461.

6. καὶ λέγει] καὶ — E. Attingit haec et reliqua Chryſ. I, 531.

λέγει αὐτῷ πέτρος· οὐ μὴ νίψῃς τοὺς πόδας 8.
μου εἰς τὸν αἰῶνα. ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς·
ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ.
λέγει αὐτῷ σίμων πέτρος· κύριε, μὴ τοὺς 9.
πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ
τὴν κεφαλήν.
λέγει αὐτῷ ὁ ἰησοῦς· ὁ λελουμένος οὐ χρείαν 10.
ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι κα-
θαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ
πάντες. [Τέλος.]

Τέλος ἐν τισι τοῦ α. εὐαγγελίου τοῦ νιπτῆρος τέλος τοῦ νιπτῆρος.

ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο 11.
εἶπεν· οὐχὶ πάντες καθαροί ἐστε. [Τέλος.]
[Ἀρχή.] ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, 12. ME.
καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πά-
λιν, εἶπεν αὐτοῖς· γινώσκετε τί πεποίηκα
ὑμῖν;

ὑμεῖς

XIII, 12. ME. εὐαγγέλιον β. μετὰ τὸ νίψασθαι· τ. κ. ε. ὅτε [οὖν] ἔνιψεν ὁ ἰησοῦς τοὺς πόδας.'

8. πέτρος] ὁ πέτρος. D.

ὁ ἰησοῦς] ὁ — E.

9. πόδας μου] μου — E.

10. ἢ τοὺς] εἰ μὴ τούς. E. Cyrill. I, a. 129. 312. hic etiam in fine: ἔστι γὰρ καθαρὸς, omiſſo ὅλος. Sed priori loco vulg. Nihil omnino mutat IV, 724.

καθαροί ἐστε] + διὰ τὸν λόγον, ὃν λελάληκα (ἐλάλησα) ὑμῖν. E. Chryſ. VIII, 416. b. v. P. Euth. III, 462.

12. αὐτῶν] τῶν μαθητῶν. E. v. P. Ità quoque Cyrill. et Theoph. perſpicuitatis cauſſa habent, quod hic denuo inchoant interpretationem.

ἀναπεσὼν] καὶ ἀναπεσὼν t καὶ ἀνέπεσε. E.

13. ὑμεῖς φωνεῖτέ με * ὁ κύριος καὶ ὁ διδάσκα- ΡΙΓ. γ.
λος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ.
14. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος ΡΙΖ. ι.
καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλή-
λων νίπτειν τοὺς πόδας.
15. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ
ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.
16. ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων ΡΙΗ. γ.
τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ
πέμψαντος αὐτόν.
17. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε Τέλος τοῦ β.
αὐτά. [Τέλος.] [Ὑπάντα.] Ὑπάντα εἰς
18. οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ οἶδα οὓς τὸ τῆς μεγά- ΡΙΘ. ι.
ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ· ὁ λης ε. εἰς τὰ
τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ κατὰ ματ-
τὴν πτέρναν αὐτοῦ. θαῖον ἐν κεφ. ρη. καὶ ἐσθιόντων.
19. ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα
ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι.
20. ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὁ λαμβάνων ἐάν τινα ΡΚ. α.
πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων,
λαμβάνει τὸν πέμψαντά με.

ταῦτα

13. ὁ διδάσκαλος καὶ ὁ κύριος] ὁ κύριος καὶ ὁ διδάσκαλος. Chryf. VIII, 417. c. Cyrill. IV, 726. a. d. V, a. 21. 149. 713. V, d. 41.

14. Origenes tradit, fua aetate non in ufu fuiffe folemnem lotionem pedum. v. P. Id fane miror, cum inter evangelia τῆς μεγάλης ἑβδομάδας, εἰς τὸν νιπτῆρα duo notentur ἀναγνώσματα Io. μδ. et με. v. Huet. ad Orig. IV, 422.

15. ἔδωκα] δίδωκα. D.

ΡΚΑ. δ. ταῦτα εἰπὼν ὁ ἰησοῦς ἐταράχθη τῷ πνεύ- 21.
ματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν· ἀμὴν ἀμὴν
λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.
ΡΚΒ. α. ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ, ἀπο- 22.
ρούμενοι περὶ τίνος λέγει.
ΡΚΓ. ι. ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ 23.
ἐν τῷ κόλπῳ τοῦ ἰησοῦ, ὃν ἠγάπα ὁ ἰησοῦς.
νεύει οὖν τούτῳ σίμων πέτρος πυθέσθαι τίς 24.
ἂν εἴη περὶ οὗ λέγει.
ἐπιπεσὼν δὲ ἐκεῖνος * οὕτως ἐπὶ τὸ στῆθος τοῦ 25.
ἰησοῦ, λέγει αὐτῷ· κύριε, τίς ἐστιν;
ΚΔ. θ. ἀποκρίνεται ὁ ἰησοῦς· ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βά- 26.
ψας τὸ ψωμίον ἐπιδώσω· καὶ ἐμβάψας τὸ
ψωμίον δίδωσιν ἰούδᾳ σίμωνος ἰσκαριώτῃ.

καὶ

23. κόλπῳ] Ubi in litteris sacris occurrat vocabulum κόλπος, sedulo, sed sine consilio, notavit Orig. IV, 438, 439. Plures vero eius interpretationes originem debent sic dictis *Concordantiis*. Cuiusmodi vero sint interpretes *Concordantiales et Lexicarii*, notum est.

24. νεύει] ἐννεύει. E. Chrys. VIII, 280. f. Miror, hoc fugisse fabricatores recensionis occidentalis, cum praesertim Latinistae habeant, INnuit. Sed nec Griesb. id animadvertit. Quaeris cur? Quia Wetst. non animadverterat.

25. ἐπιπεσὼν] ἀναπεσών. E. v. P. Ab Origene id mutuatus est etiam Chrys. VIII, 424. b. παρὰ τὸ στῆθος ἀναπεσών.

ἐκεῖνος] + οὕτως. In non nullis Codd. adhuc reperitur vitiose scriptum οὗτος, quae duo alibi etiam confusa sunt. Ergo facile post ἐκεῖνος excludebatur. Cum hoc nec ab Orig. nec ab Chrys. nec ab Cyrill. illatum

27. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖ- ΡΚΕ. ε.
νον ὁ σατανᾶς. λέγει οὖν αὐτῷ ὁ ἰησοῦς· ὃ
ποιεῖς, ποίησον τάχιον.

28. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς
τί εἶπεν αὐτῷ.

29. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν
ὁ ἰούδας, ὅτι λέγει αὐτῷ ὁ ἰησοῦς· ἀγόρασον
ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς
πτωχοῖς ἵνα τὶ δῷ.

30. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλ-
θεν. ἦν δὲ νύξ, ὅτε * ἐξῆλθεν.

λέγει

illatum sit, praestantissimi Codices autem id habeant, recipiendum iudicavi. Similiter 4, 6. temere a quibusdam sublatum est οὕτως. v. P. Euth. 129.

26. βάψας] v. P. ἐπιδώσω bis servat Chrys. VIII, 423. e. 424. b. Solum δώσω infert Cyrill. IV, 735. Satis erat scilicet δώσω, non opus erat dicere ἐπιδώσω.

27. λέγει οὖν αὐτῷ] v. Orig. IV, 442. e. 443. b. qui hic dubius est, utrum αὐτῷ ad diabolum, an ad Iudam referendum sit. Ac si ullum dubium esse possit per versus 27. 28. 29. nisi quis credat, diabolum etiam portasse γλωσσόκομον. Haec tamen dicta sint pace Summe Reverendi Griesbachii et S. Hieronymi, qui evangelia Origeniana, sicuti ursae catulos, fovent et mulcent.

ὁ ἰησοῦς] + ἑταῖρε. E. v. P. Ita non solum Chrys. VIII, 424. a. b. recitat, sed id etiam in interpretatione urget.

ποίησον τάχιον] ποίει τάχιον. E. v. P.

30. ἦν δὲ νύξ. ὅτε οὖν] ἦν — v. P. In iis etiam Codd. quos post priorem edit. meam comparavi, legitur: ἦν δὲ νύξ, ὅτε ἐξῆλθεν. Et Augustanus quidem 12. post ἐξῆλθεν terminum habet, ac denuo scholium inter-

λέγει ὁ Ἰησοῦς· [Ἀρχή.] νῦν ἐδοξάσθη ὁ υἱὸς 31. M5.
τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν
αὐτῷ.
εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δο- 32.
ξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει
αὐτόν.
τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. ζητήσετέ 33.
με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις· ὅτι ὅπου
ὑπάγω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ
ὑμῖν λέγω ἄρτι.

ἐντο-

XIII, 31. M5. εὐαγγέλιον α. τῶν ἁγίων παθῶν· [ἐν τισι πρόσκειται· ἡ διαθήκη. οὕτω γὰρ καλεῖται τὸ εὐαγγέλιον τοῦτο.] ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· νῦν ἐδοξάσθη.

interponit. Chrys. semel ἐξῆλθε νυκτὸς, quod nihil definit: semel uti Codices: ἦν δὲ νὺξ, ὅτε ἐξῆλθε. VIII, 424. a. d. tertio: μετὰ γοῦν τὸ ἐξελθεῖν τὸν Ἰούδαν ἐπὶ τὸ παραδοῦναι λέγει. 425. b. quod videtur probare lectionem, ὅτε οὖν ἐξῆλθε. Sed haec homiletae et interpretis sunt verba. Theoph. 760, c. in interpretatione repetit: ἦν δὲ νὺξ, ὅτε ἐξῆλθε. Cyrill. IV, 742. e. cum Codd. exhibet: νὺξ, ὅτε ἐξῆλθεν. Sed 744. b. ut interpres in principio iterum repetit: ὅτε οὖν ἐξῆλθε. Similiter idem versu 26. loco καὶ ἐμβάψας in principio infert: βάψας οὖν IV, 737. c. Euth. inter ἐξῆλθεν et λέγει interponit scholium. Ergo ipse etiam textum ita distinguit, uti Codices. v. Euth. 198. 199. et III, 477. Supra aliqui laudarunt Nonnum. Liceat ergo mihi quoque eum laudare. Habet ergo ἀνεχάζετο νυκτὸς ὁδίτης. Sed continuo nexus caussa subiungit: ἀλλ' ὅτε νόσφι βέβηκε. Plane, ut Cyrillus.

33. ὑπάγω ἐγὼ] ἐγὼ ὑπάγω. A.
ἄρτι] + ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. E., ex VIII, 21. v. P. ad utrumque locum.

34. ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε
ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ
ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.
35. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθη-
ταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.
36. λέγει αὐτῷ σίμων πέτρος· κύριε, ποῦ ὑπάγεις;
ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς· ὅπου * ἐγὼ ὑπάγω,
οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ
ἀκολουθήσεις μοι.
37. λέγει αὐτῷ * πέτρος· κύριε, διατί οὐ δύναμαί ΡΚϚ. α.
σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ
σου θήσω.
38. ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς· τὴν ψυχήν σου
ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ
μὴ ἀλέκτωρ * φωνήσῃ ἕως οὗ ἀπαρνήσῃ με
τρίς.
XIV, 1. [Ἀρχή.] Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· ΡΚΖ. ι.
ΜΖ. πιστεύετε εἰς τὸν θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε.

ἐν

XIV, 1. ΜΖ. τῇ β. τῆς ϛ. ἑβδ. ἐ. ὁ κ. τοῖς ἑαυτοῦ μα-
θηταῖς· μὴ ταρασσέσθω.

35. ἀγάπην ἔχητε ἐν ἀλλήλοις] ἀγαπᾶτε ἀλλήλους. E. Chryſ. qui tamen nihil variat VII, 376. d. Cyrill. IV, 752. ſed III, 98. vulg. in fine tamen, εἰς ἀλλήλους. V. b. 84. ὅταν ἀγάπην ἔχητε εἰς ἀλλήλους. v. P.

ἔχητε] ἔχετε. D.

36. ὅπου] + ἐγώ. A. Sic et poſtea in aliis inveni.

37. ὁ πέτρος] ὁ —

38. φωνήσει] φωνήσῃ.

ἀπαρνήσῃ] ἀρνήσῃ. E. Illud quibusdam nimium videbatur.

ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί 2.
εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· πορεύομαι ἑτοι-
μάσαι τόπον ὑμῖν.
καὶ ἐὰν πορευθῶ, * ἑτοιμάσω ὑμῖν τόπον. 3.
πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς
ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε.
καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν 4.
οἴδατε.
λέγει αὐτῷ Θωμᾶς· κύριε, οὐκ οἴδαμεν ποῦ 5.
ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;
λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ 6.
ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν
πατέρα, εἰ μὴ δι᾽ ἐμοῦ.
εἰ ἐγνώκατέ με, καὶ τὸν πατέρα μου ἐγνώ- 7.
κειτε ἄν· καὶ ἀπ᾽ ἄρτι γινώσκετε αὐτόν,
καὶ ἑωράκατε αὐτόν.

λέγει

XIV, 1. Quod in principio addunt non nulli: καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, id Griesb. in ultima editione didicit esse Evangeliariorum. v. Euth. 115.

καρδία] + μηδὲ δειλιάτω. E. v. P.

3. καὶ ἑτοιμάσω] καὶ — v. P. Istud καὶ bis omittit etiam Aug. 4. Pro omisso καὶ Wetst. frustra laudavit Cyrill. Decem eius loca mihi notaveram, quae tamen frustra relegi. Nec apud Origenem, ut arbitror, aliquid extat.

εἰμὶ] ὑπάγω. E. Orig. I, 645. Ex uno Evangeliario id notat Griesb.

7. ἐγνώκειτε ἄν] ἂν ᾔδειτε. E. Hoc in interpretatione seu paraphrasi habet solum Chrys. VIII, 432. c. sed brevi ante vulgatum. In textu Cyrill. IV, 769. et 771. 772. ubi editur εἰ ἐγνώκατε. Sed I, g. 316. habet adeo: εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν.

8. λέγει αὐτῷ Φίλιππος· κύριε, δεῖξον ἡμῖν τὸν
πατέρα, καὶ ἀρκεῖ ἡμῖν.
9. λέγει αὐτῷ ὁ ἰησοῦς· τοσοῦτον χρόνον μεθ'
ὑμῶν ειμι, καὶ ουκ ἔγνωκάς με Φίλιππε; ὁ
ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ πῶς
σὺ λέγεις· δεῖξον ἡμῖν τὸν πατέρα;
10. ου πιϛεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πα-
ΜΗ. τὴρ ἐν ἐμοὶ ἐϛι; [Τέλος.] [Ἀρχή.] τὰ ῥήμα- Τέλος τῦ τισι τῆς ε.
τα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ ου λα-
λῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ
τὰ ἔργα.

πιϛέ-

XIV, 10. ΜΗ. σαββάτῳ ϛ'. ἑ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· τὰ ῥήματα ἃ ἐγώ.

γινώσκετε] γνώσεσθε. E. Chrys. VIII, 432. c. qui adeo addit: τὸ μὲν μέλλοντος· τὸ δὲ παρόντος· τουτέϛι, δι' ἐμέ. Scilicet ἑωράκατε accipit pro *vidistis et ad huc videtis.* Chrys. praeterea ibi assuit: ὤπερ, φησὶν, ὤφθη καὶ ἀγγέλοις. Immo ὤφθαι ibid. et urget et explicat. v. Euth. III, 489. Etiam ii Codices, quos novissime evolui, hunc versum sine varietate exhibent, in his divinus Aug. 4. bis. Duplex enim est lectio ecclesiastica, ut hic cernitur.

9. τοσοῦτον χρόνον] τοσούτῳ χρόνῳ. E. Cyrill. IV, 776. sed τοσοῦτον χρόνον II, 615. V, a. 40. 466. V, c. 117. 148. 168. V, d. 13. Quid ergo cogitant lectores, cum apud Wetst. et Griesb. pro τοσούτῳ χρόνῳ Cyrillum laudatum inveniunt? Quomodo praeterea laudatus est? Cyrill. Sed ubi?

10. αὐτὸς ποιεῖ τὰ ἔργα] ποιεῖ τὰ ἔργα αὐτὸς Cyrill. *semel,* inquit Griesb. Ubi? Nam Cyrill. locis XVII. laudat hunc versum. IV, 782. ergo vulgatum habet. Item V, a. 524. 615. Sed sufficit: ergo

ἐργο

πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ 11.
Τέλος τῆς ς. πατὴρ ἐν ἐμοί· [Τέλος.] * εἰ δὲ μὴ, διὰ τὰ
ἔργα αὐτὰ πιστεύετέ μοι.
ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμὲ, τὰ 12.
ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μεί-
ζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πα-
τέρα μου πορεύομαι.
ΡΚΗ. δ. καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, 13.
τοῦτο ποιήσω· ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ
υἱῷ.
ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ 14.
ποιήσω.

[Ἀρχή.]

ego nunc adſcribam: Cyrill. vulgatum *ter*. Quid ergo? Quod iam *ter* dixi: Audiendi ſunt probi Codices N. Teſt. niſi fortaſſe hoc ipſo verſu auctoritate Chryſ. VIII, 436. a. et ſex eius Codd. Mosqq. delenda ſint: *καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι.* Vulgatum Orig. II, 614.

11. *ἐν ἐμοί ἐστιν*] *ἐστιν* —

εἰ δὲ μὴ — πιστεύετέ μοι] Etſi haec arcte cohaereant cum ſuperioribus: tamen in ſine lectionis eccl. omittuntur. Eorum autem loco alia Evangeliaria addunt *ἐστίν*. Eadem tamen occurrunt in alia lectione. Ita e. c. Evang Goth. ſol. 43. in lectione *τῇ παρασκευῇ τῆς ς.* in ſine illa omittit et addit *ἐστίν*· in altera autem lectione fol. 44. *σαββάτῳ ς.* illa ſervat et omittit *ἐστίν*. Nec aliter Auguſtanum fol. 42. Ter autem hunc verſum habent Evangeliaria. Quae ſit prima, ſecunda et tertia lectio, haud dubie notatum reperies apud priores editores omnes.

14. Birchius monet, hunc verſum in duabus diverſis lectionibus in uno codice omiſſum eſſe. Ergo credit, id non incuria ſcribae accidiſſe. v. P. Bis

idem

ΜΗ. 15. [Ἀρχή.] ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε·

16. καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα·

17. τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. [Ὑπέρβα.] Ὑπέρβα τοῦ σαββάτου.

18. οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς.

19. ἔτι μικρὸν, καὶ ὁ κόσμος με οὐκ ἔτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε.

20. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν.

[Ἄρξου.]

XIV, 15. ΜΗ. *μαΐου ια. ἐν τισὶν καὶ κυριακῇ α. μετὰ τὴν ι. ἰουλίου, τῇ πρὸ τῶν προαλλακτῶν. ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτε.*

idem dictum esse, monet etiam Theoph. 768. fin. et 769. init. Mea Evangeliaria in neutra lectione omittunt, uti nec Goth. nec Aug. Tertia lectio est *εὐαγγέλιον α. τῶν παθῶν* ab Io. 13, 31. ad 18, 1.

16. *ἵνα μένῃ μεθ' ὑμῶν*] Chryf. VIII, 439. e. 440. a. volutat haec verba: *μεθ' ὑμῶν μένει, ἐν ὑμῖν ἔσται* et *μεθ' ὑμῶν ᾖ*. Ex eo ergo aliqui expiscati funt *ᾖ*, loco *μένῃ*. v. Griesb.

18. 19. 20. omittit Evangeliarium Mosq. b. in lectione *σαββάτῳ ς*. Habet autem in longiori illa lectione. Dissentiunt reliqua omnia. Etiam Goth. et Aug.

ΡΚΘ. α. [Ἄρξου.] [Ἀρχή.] ὁ ἔχων τὰς ἐντολάς μου 21. ΜΗ.
Ἄρξου τοῦ σαββάτου. καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·
ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ
Τέλος τοῦ σαββάτου. πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ
ἐμφανίσω αὐτῷ ἐμαυτόν. [Τέλος.]
ΡΛ. ι. λέγει αὐτῷ ἰούδας, οὐχ ὁ ἰσκαριώτης· κύριε, * 22.
καὶ τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν
σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ;
ἀπεκρίθη * ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις 23.
ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ
πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν
ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσο-
μεν.
ΡΛΑ. α. ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· 24.
καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ
Τέλος τοῦ ἁγίου. τοῦ πέμψαντός με πατρός. [Τέλος.]
ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· 25.

ὁ

XIV, 21. MH. τοῦ ἁγίου ἀποστόλου ἰούδα· εἶ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἔχων.

20. Post hunc versum Chrys. VIII, 441. c. explicat: καθὼς ἀπέστειλέ με, κἀγὼ ἀπέστειλα ὑμᾶς. Recte vero hoc, ut *locum similem* notat Theoph. 772. a. Forte ex Io. 17, 18. vel 20, 21.

22. κύριε] + καί. Sic supra 9, 36.

23. ὁ Ἰησοῦς] ὁ —

τὸν λόγον] τὰς ἐντολάς. E. Chrys. non ad hunc locum, sed VIII, 40. b.

ποιήσομεν] ποιήσωμεν. D. ποιησόμεθα. E. Vulg. Chrys. VIII, 442. a. 266. b. sed 40. b. ποιησόμεθα. Non miror, graecis placuisse ποιησόμεθα. Igitur etiam Cyrill. multoties ita habet. Sed exhibet etiam

I. a.

26. ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ ΡΛΒ. ι.
πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος
ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς
πάντα ἃ εἶπον ὑμῖν.
27. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι
ὑμῖν· [Τέλος.] οὐ καθὼς ὁ κόσμος δίδωσιν, Τέλος μαθεω
ΜΘ. ἐγὼ δίδωμι ὑμῖν. [Ἀρχή.] μὴ ταρασσέσθω ια.
ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.
28. ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· ὑπάγω καὶ
ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἠγαπᾶτέ με, ἐχάρητε
ἂν ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα·
ὅτι ὁ πατήρ μου μείζων μού ἐστι.

καὶ

XIV, 27. ΜΘ. τῇ β. τῆς πεντηκοστῆς· ἑ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ ταρασσέσθω.

I, a. 513. ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα, καὶ ἐν αὐτῷ καταλύσομεν, ἔφασκεν ὁ σωτήρ. Sic, ſed πατήρ μου — καὶ ἐν αὐτῷ καταλύσομεν. VI, a. 27. Vulgatum Damasc. II, 456. ἐάν τις — ποιήσομεν.

26. Chryſ. non ſolum tractat VIII, 442. e. ſed et I, 519. XII, 144. v. P. Cyrill. vulgatum, ſed ὑμῖν ὁ πατὴρ et ἃ εἶπον ἐγώ. IV, 837. et V, a. 343. ἐκεῖνος διδάξει ὑμᾶς καὶ — ὅσα εἶπον ὑμῖν. v. Griesb. P.

27. δίδωσιν, ἐγὼ] δίδωσιν εἰρήνην, κἀγώ. E. Orig. IV, 100. I, 752.

28. ὅτι εἶπον πορεύομαι] εἶπον — E. v. Euth. 199. Cum paullo ante ſit, ὅτι ἐγὼ εἶπον ὑμῖν, aliis haec repetitio taedioſa viſa eſt, contra vero alii ſecundum membrum priori reddiderunt aequale. Ergo alii εἶπον omiſerunt, alii autem ἐγὼ et ὑμῖν addiderunt, vel etiam ἐγὼ in priore membro omiſerunt, ut iam ſilentio praetermittam, quae Chryſ. hic omiſit et addidit. v. P. Probi Codices nihil mutant, nec ii,

quos

καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα ὅταν 29.
γένηται, πιςεύσητε.
οὐκ ἔτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται 30.
γὰρ ὁ τοῦ κόσμου * ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ
ἔχει οὐδέν·
ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πα- 31.
τέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατὴρ,
οὕτω ποιῶ. [Τέλος.] ἐγείρεσθε, ἄγωμεν ἐν-
τεῦθεν.
[Ἀρχή.]

Τέλος τῆς β. * ἐν ἄλλοις τελειοῖ ἐν τῷ καὶ γίνηται ὑμῖν.

quos novissime consului. Perpetua ergo est disputatio contra levitatem et negligentiam interpretum et contra eos Codices, qui ex istis corrupti sunt. Chrys. hunc vers. non solum recitat VIII, 443. sed attingit etiam 441. XII, 84. Orig. III, 665. b. IV, 235. 247. 451. et Cyrill. V, a. 85. 87. ex hoc loco etiam laudant: ὁ πατήρ ὁ πέμψας με μείζων μου ἐστιν. Alium enim nullum locum reperire potui in hoc evangelio. Fortasse ergo hoc quoque probandum? Similis confusio est mox versu 29. apud Chrys. VIII, 443. c. 444. a. c. II, 641. XI, 445. a. v. P.

πατήρ μου] μου — B.

30. κόσμου τούτου] τούτου — Forte ex 12, 31. v. Euth. 199.

ἔχει] εὑρήσει t. εὑρίσκει. E. Orig. servato τούτου, habet εὑρίσκει. IV, 349. τούτου et ἔχει 356. τούτου, οὐκ ἔχει δὲ ἐν ἐμοὶ οὐδέν. III, 225. τούτου — εὑρίσκει. II, 816. v. Euth. 199. 200. et P. Ibi in scholiis legendum ἔρχεται et λαμβάνων. Ista scholia, quae ego contra εὑρήσει laudaveram, Griesbachius in novissima editione sua ex mea laudavit pro εὑρήσει. Addo solum hoc: ἔχει habere etiam duo edita scholia, alterum anonymi, alterum Cyrilli. v. Caten. Cord. 375. in superiore parte paginae.

31. ἐγείρεσθε] Hic non solum apud Chrys. sed et apud Cyrill. IV, 855. Theoph. 777. e. et Euth. III, 511. est στιγμὴ τελεία.

N. XV, 1. [Ἀρχή.] Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι.
2. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.
3. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.
4. μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν· καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε.
5. ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ δύνασθε ποιεῖν οὐδέν.
6. ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς * τὸ πῦρ βάλλουσι, καὶ καίεται.

ἐὰν

XV, 1. N. σεπτεμβρίου β. καὶ τῇ ς. τῆς α. ἑβδ. τῶν παννυχίδων, καὶ ἔν τισιν, ἀνγούστου ις. ἰ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγώ εἰμι ἡ ἄμπελος.

XV, 1. ἀληθινὴ] + ὑμεῖς τὰ κλήματα. E. ex verſ. 5. v. Euth. 200. et III, 510. Orig. III, 304. non ſolum haec addit, ſed et alia ibi innovat, quae nullibi leguntur. Totus locus cognoscendus. Omittit iſta IV, 23. b. et recte ex verſu 5. notat. Diſerte enim utrumque verſum diſtinguit. Cyrill. IV, 857. in textu recte vulgatum. Infert tamen iſta 866. Sine varietate verſ. 1. et 2. I, g. 234. niſi καρπὸν πλείονα. et II, 129. ſed καὶ πᾶν κλῆμα τὸ et καρπὸν πλείονα. Ex Codicibus conſtat, quid probandum ſit. Hoc caput miſere etiam vexat Chryſ. homilia 76. et 77.

ΡΛΓ. δ. ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν 7.
ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε, αἰτήσεσθε, καὶ
Τέλος τῶν β. γενήσεται ὑμῖν. [Τέλος.]
ΡΛΔ. ι. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν 8.
πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί.
[Ἀρχή.] καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ 9. ΝΑ.
ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ
ἐμῇ.
ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν 10.
τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ
πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν
τῇ ἀγάπῃ.

ταῦτα

XV, 9. ΝΑ. μαΐου ια. εἰς τὸ γενέθλιον τῆς πόλεως (κωνσταντινουπόλεως) καὶ τοῦ ἁγίου μωκίου. ι. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· καθὼς ἠγάπησέ με.

6. αὐτὰ] αὐτό. E. Cyrill. IV, 875. Probabilis videri possit haec lectio, ut difficilior, quia συνάγειν de pluribus potius, quam de uno dicitur. Sed contra sunt Codd. Cyrillus de Iuda proditore hoc explicat.

εἰς] + τό. Ita magno consensu Codd. et Aug. 4. ter. Nam usque ad vers. 7. pleraque Evangeliaria ter habent. Gothanum adeo quater hos versus habet. Quarto loco Aug. remittit ad Septemb. II. Illud autem hic notabile, quod alia Evangeliaria τὰ εὐαγγέλια τῶν παννυχίδων post τὴν κυριακὴν τῆς τυροφάγου, alia in fine habent. Ita dissentiunt Goth. et Aug. Est et hoc discrimen. Alia enim lectionem XV, 1. versu 7. alia versu 11. terminant.

7. αἰτήσεσθε] αἰτήσασθε. E. v. P. Chrys. VIII, 448. b. primo perverse hunc versum auspicatur, deinde ad se redit paululum.

8. γενήσεσθε] γίνεσθε. E. v. P.

11. ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. [Τέλος.] Τέλος τοῦ ἁγίου ἔν τισιν.

12. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

13. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τὶς τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. ΡΛΕ. δ.

14. ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. ΡΛΣ. ι.

15. οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν.

16. οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπ-

11. μείνῃ] ᾖ. E. v. P.

13. ἔχει] + ἢ. E. Non ſolum Cyrill. IV, 886. habet vulg. ſed et III, 557. et 622. ubi tamen, ταύτης τῆς ἀγάπης. Hunc verſ. Chryſ. in comm. omittit, habet tamen I, 378. 623. II, 672. VII, 610. In nullo, quos poſtea comparavi, inveni ἢ.

14. ὅσα] ἃ. E.

ἐγὼ] — E.

15. ἃ] ὅσα. E. Bis hunc verſ. reſpicit Orig. IV, 33. ac non ſolum negligenter notat, ſed et cum Lucae loco confundit.

16. ἵνα ὑμεῖς] ὑμεῖς — E. Cyrill. IV, 892. omittit, habet V, d. 85. et mox μείνῃ et δώσει ὑμῖν. Sic et in actis Epheſ. p. 49. Chryſ. VIII, 452. c. habet: ἵνα

ὑπάγητε καὶ καρπὸν * φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ,τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. [Τέλος.]

Τέλος τοῦ ἁγίου.

['Αρχή.]

ἵνα ἐκταθῆτε καὶ καρπὸν φέρητε. Mox ibi etiam eſt ἐκτείνων. v. et Euth. III, 522. Nec aliter explicat Cyrill. IV, 892. e. ὥστε ὑμᾶς ἀ...γειν, τουτέστι, πρὸς τὸ μεῖζον ἐκτείνεσθαι καὶ καρποφορεῖν δύνασθαι τῷ θεῷ. Theophyl. ad h. l. explicat ὑπάγητε, τουτέστιν, ἵνα αὐξηθῆτε, πλατυνθῆτε, ἁπλωθῆτε, ἐκταθῆτε. Illi omnes ἀνάγειν aut ὑπανάγειν cum ὑπάγειν permutarunt, quanquam nec haec ſatis ſunt probabilia. ὑπάγειν modo nihil niſi initium agendi notat, modo ſignificat *abire*, modo eſt, aliquo vitae inſtituto uti. Sic h. l. Graeci dicunt, διάγειν, πολιτεύεσθαι. In N. Teſt. eſt περιπατεῖν, πορεύεσθαι. Aliquo modo ſimile eſt Pſ. 125, 6. Ἔθηκα hic quoque inepte explicatum eſt, ἐφύτευσα, etſi ad Euth. exemplum ex Xenophonte notaverim. Ἔθηκα eſt, κατέστησα, ἀπέδειξα, adeoque hic non multum differt ab προεύχειρα, ἐξελεξάμην. τιθέναι τινὰ ſaepe ſic eſt in V. et N. Teſt. tam in bonam, quam in malam partem. Sed et ὑπάγειν tam de re laeta, quam de triſti ac pernicioſa dicitur. Haec obiter eo maxime conſilio, ut appareat, ſaepe plures interpretes, adeoque etiam discrepantes lectiones, ex uno pendere. Ad hos errores autem h. l. deductus eſt Chryſoſt., quod cupiebat demonſtrare, Ioannem ex praeceptis rhetorum uſum eſſe verbis translatis.

δῷ] δώσει D. δώσῃ E. δῴη. A. Codices permulti ſunt pro δῴη, quod ante ὑμῖν, propter ſimilitudinem ſoni, facile potuit tranſire in δῷ. Haud pauci exhibent δώσει. Notum vero, ἵνα interdum iungi indicativo futuri v. 17, 2. Apud Cyrill. IV, 892. eſt δῷ. De Weſtenii actis Epheſ. modo dixi.

NB. 17. [Ἀρχή.] ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγα- ΡΛΖ. δ.
πᾶτε ἀλλήλους.
18. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ ΡΛΗ. ι.
πρῶτον ὑμῶν μεμίσηκεν.
19. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον
ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ᾽
ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ
τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος.
20. μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· ΡΛΘ. γ.
οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· εἰ ΡΜ. α.
ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λό-
γον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρή-
σουσιν.
21. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ΡΜΑ. α.
ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.
22. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρ- ΡΜΒ. γ.
τίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι
περὶ τῆς ἁμαρτίας αὐτῶν.
23. ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. ΡΜΓ. ι.

εἰ

XV, 17. NB. σαββάτῳ γ. καὶ εἰς μάρτυρας [ἔν τισι, νοεμβρίου κε. τῶν ἁγίων κλήμεντος ῥώμης καὶ πέτρου ἀλεξανδρείας] ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι.

17. ἐντέλλομαι] λελάληκα. E. Chryſ. VIII, 452. d. v. Euth. III, 525.

19. Multa hoc verſu transponit Orig. I, 300.

21. πάντα] — t ἅπαντα. E.

22. εἶχον] εἴχοσαν. E. Sic Wetſt. B. v. Orig. IV, 44. 67. ubi utroque loco ſic notatur ex Codd. Vide tamen ibid. 44. et III, 358.

ΡΜΔ. ι. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς 24.
ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν
δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ
καὶ τὸν πατέρα μου.
ΡΜΕ. ι. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος 25.
ἐν τῷ νόμῳ αὐτῶν· ὅτι ἐμίσησάν με δωρεάν.

ΙΖ. περὶ τοῦ παρακλήτου.

ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω 26.
ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς
ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται,
ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.
καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς 27.
μετ' ἐμοῦ ἐστε.
ΡΜϚ. α. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλι- XVI, 1.
σθῆτε.
ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' [Ἀρ- 2. ΝΓ.
χή.] ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας
ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ.
Τέλος τοῦ [Τέλος.]
σαββάτου καὶ ταῦτα ποιήσουσιν, * ὅτι οὐκ ἔγνωσαν 3.
καὶ τῶν
μαρτύρων. τὸν πατέρα οὐδὲ ἐμέ.
ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ 4.
ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον
ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι
μεθ' ὑμῶν ἤμην.

νῦν

XVI, 2. ΝΓ. τῇ γ. τῆς πεντηκοστῆς· εἶ. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· ἔρχεται ὥρα.

2. ἵνα] ὅτι. E. Orig. IV, 402. ὅτι — δόξει. Id ſane facilius.

3. ποιήσουσιν ὑμῖν] ὑμῖν —

5. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ ΡΜΖ. ς.
οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις;
6. ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη
πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.
7. ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει
ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ * ἐγὼ μὴ
ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς
ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς
ὑμᾶς·
8. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ
ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρί-
σεως.
9. περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς
ἐμέ·
10. περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα
μου ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με·

περὶ

7. λέγω ὑμῖν] ὑμῖν λέγω. Cyrill. IV, 917. E. v. P.
ἵνα ἐγὼ] ἐὰν ἐγώ. ἐγὼ — E. Cyrill. III, 640. ἵνα solum IV, 917. vulg. III, 346. VI, b. 386.
γὰρ ἐγὼ] ἐγὼ — E. Cyrill. VI, b. 386.
ἐὰν γὰρ] + ἐγώ. Non agnoscit Cyrill. IV, 917. VI, b. 386. agnoscit III, 346. 640.
οὐκ ἐλεύσεται] οὐ μὴ ἔλθῃ. E. Chrys. VIII, 459. c. Cyrill. III, 346. vulg. 640. VI, b. 386. IV, 917.
ἐὰν δὲ — πρὸς ὑμᾶς] — E. Cyrill. IV, 917. omittit, sed habet III, 640. Solus ergo Cyrillus hoc versu quemlibet satiare potest varietate lectionum. Probi Codd. nihil mutant, nisi quod magno consensu addunt ἐγὼ, post γάρ. Griesbachius legendo Cyrillo perpercit et sibi, et Cyrillo, ac solum omissa, ἐὰν δὲ — πρὸς ὑμᾶς, notavit.
πορευθῶ] ἀπέλθω. E. Chrys. VIII, 459. c.
10. ὑπάγω] πορεύομαι. E. Chrys. VIII, 459. e.

περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου 11.
τούτου κέκριται.
ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ ου δύνα- 12.
σθε βαστάζειν ἄρτι·
ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀλη- 13.
θείας, ὁδηγήσει ὑμᾶς ἐις πᾶσαν τὴν ἀλή-
Τέλος τῆς γ. θειαν. [Τέλος.] ου γὰρ λαλήσει ἀφ᾽ ἑαυτοῦ,
ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρ-
χόμενα ἀναγγελεῖ ὑμῖν.
ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψε- 14.
ται, καὶ ἀναγγελεῖ ὑμῖν.
ΡΜΗ. γ. [Ἀρχή.] πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· 15. ΝΔ.
διὰ τοῦτο ἔιπον, ὅτι ἐκ τοῦ ἐμοῦ * λαμβάνει,
καὶ ἀναγγελεῖ ὑμῖν.

μικρὸν,

XVI, 15. ΝΔ. τῇ δ. τῆς πεντηκοστῆς· ε. ὁ κ. τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα, ὅσα ἔχει.

12. λέγειν ὑμῖν] ὑμῖν λέγειν. E. Orig. I, 388. Cyrill. V, a. 628.

13. ὅταν δὲ] δὲ — E. Cyrill. IV, 923. omittit. Habet V, a. 592. 628.

ἐκεῖνος] ὁ παράκλητος. E. Cyrill. V, a. 369. Vulg. IV, 923.

ἐις πᾶσαν τὴν ἀλήθειαν] ἐν τῇ ἀληθείᾳ πάσῃ. Cyrill. V, a. 593. 369. vulg. IV, 923. ἐις τὴν ἀλήθειαν πᾶσαν et ἀκούσει. Orig. I, 387. 388. ad πᾶσαν.

λαλήσει ἀφ᾽ ἑαυτοῦ] λαλήσει λέγων ἀφ᾽ ἑαυτοῦ ὀυδέν. E. Cyrill. V, a. 343. Sic, omiſſo λέγων. 657. vulg. IV, 923.

ὅσα ἂν ἀκούσῃ] ὅσα ἀκούσει. E. Cyrill. V, a. 628. 343. 657. vulg. IV, 923.

15. ἔιπον] + ὑμῖν. E. Cyrill. VI, a. 105. 229. IV, 930.

16. μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μι- ΡΜΘ. ι.
κρὸν, καὶ ὄψεσθέ με, ὅτι * ὑπάγω πρὸς
τὸν πατέρα.

17. εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλ-
λήλους· τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν· μικρὸν,
καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ
ὄψεσθέ με· καί· ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν
πατέρα;

18. ἔλεγον οὖν· τοῦτο τί ἐστιν ὃ λέγει, τὸ μικρόν;
οὐκ οἴδαμεν τί λαλεῖ.

19. ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾷν,
καὶ εἶπεν αὐτοῖς· περὶ τούτου ζητεῖτε μετ'
ἀλλή-

λήψεται] λαμβάνει. Cyrill. V, a. 25. 99. sed λήψεται. V, a. 675. V, c. 75. VI, a. 106. (229. variant Codd.) IV, 930.

